AESCHYLI
TRAGOEDIAE
QUAE SUPERSUNT
AC
DEPERDITARUM
FRAGMENTA.

RECENSUIT
ET
COMMENTARIO
ILLUSTRAVIT
CHR. GODOFR. SCHÜTZ.

VOL. III.

CHOËPHORAE. EUMENIDES. SUPPLICES.

EDITIO NOVA AUCTIOR ET EMENDATIOR.

HALAE,
APUD JO. JAC. GEBAUER.
MDCCCVIII.

ΑΙΣΧΥΛΟΥ

ΤΡΑΓΩΔΙΑ

ΧΟΗΦΟΡΟΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΡΕΣΤΗΣ.
ΧΟΡΟΣ, *ἐκ παρθενων χοηφορων.*
ΗΛΕΚΤΡΑ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΟΙΚΕΤΗΣ.
ΤΡΟΦΟΣ.
ΑΙΓΙΣΘΟΣ.
ΑΓΓΕΛΟΣ.
ΠΥΛΑΔΗΣ.

ΑΙΣΧΥΛΟΥ

ΧΟΗΦΟΡΟΙ.

ΟΡΕΣΤΗΣ. ΠΥΛΑΔΗΣ.

ΟΡΕΣΤΗΣ.

Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
Σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένῳ.
Ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.
Τύμβου δ' ἐπ' ὄχθῳ τάδε γε κηρύσσω πατρὶ
Κλύειν ἀκοῦσαι * * * * * * * *
* * * * * * * * * * * *
* * * * * * * * * * * *
* * πλόκαμον Ἰνάχῳ θρεπτήριον
Τὸν δεύτερον δὲ τόνδε πενθητήριον
* * * * * * * * * * * *

VARIETAS LECTIONIS.

v. 1-7. absunt Cod. Guelf. edd. Ald. Rob. Turn. Vict. Cant. Stanlejus supplevit ex Aristophanis Ranis.

v. 4. πατρὶ] Quot versiculi inter quartum et quintum, et inter sextum ac septimum interierint, conjectura definiri non potest.

Τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
Στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
Πρέπουσα; ποίᾳ ξυμφορᾷ προσεικάσω;
Πότερα δόμοισι πτῶμα προσκυρεῖ νέον;
Ἢ πατρὶ τῷ 'μῷ τάσδ' ἐπεικάσας τύχω
Χοὰς φερούσας νερτέροις μειλίγματα;
Οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
Ὁρᾶν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ
Πρέπουσαν. Ὦ Ζεῦ, δός με τίσασθαι μόρον
Πατρός, γενοῦ δὲ ξύμμαχος θέλων ἐμοί.
Πυλάδη, σταθῶμεν ἐκ ποδῶν, ὡς ἂν σαφῶς
Μάθω γυναικῶν ἥτις ἥδε προστροπή.

VARIETAS LECTIONIS.

v. 8. τί χρῆμα λεύσσω] Hic incipit in Ald. et Turn. hujus tragoediae textus, conſuſus cum Agamemnone extrema ſui parte truncato. Nempe poſt verſum Agam. 1151. ἠνυτόμαν τροφαῖς continuo ſequitur hic: τί χρῆμα λεύσσω. In Rob. eadem lacuna; Choephorae tamen diſtinguuntur.

v. 9. φάρεσιν] βάρεσι Turn.

v. 10. ποίᾳ] τοίᾳ Rob.

v. 11. δόμοισι] δόμοις Rob. πτῶμα] πῆμα Guelf. Rob. Ald. vitioſe πόμα pro πῆμα. προσκυρεῖ] προσκυνεῖ Ald. Turn.

v. 13. μειλίγματα] e conjectura Stanl. Edd. omnes μειλίγμασιν.

v. 15. ὁρᾶν] Sic Turn. Vulg. στείχειν. Utrumque abeſt Ald. λυγρῷ omiſſum Rob.

v. 18. ἐκ ποδῶν] ἐκποδὼν emend. Stanl.

ΗΛΕΚΤΡΑ. ΧΟΡΟΣ. ΟΡΕΣΤΗΣ
καὶ ΠΥΛΑΔΗΣ *πόῤῥωθεν.*

ΧΟΡΟΣ.

στροφὴ α'. Ἰαλτὸς ἐκ δόμων ἔβην
Χοὰς προπομπὸς ὀξύχειρι σὺν κτύπῳ.
Πρέπει παρηὶς φοινίοις ἀμυγμοῖς,
Ὄνυχος ἄλοκι νεοτόμῳ·
Δι' αἰῶνος δ' ἰυγμοῖσι βόσκεται κέαρ.
Λινοφθόροις δ' ὑφασμάτων
Λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν,
Πρόστερνοι στολμοὶ
Πέπλων ἀγελάστοις
Ξυμφοραῖς πεπληγμένων.

VARIETAS LECTIONIS.

v. 20. ἔβην] ἔβη Ald.

v. 21. χοᾶς] χοὰς Guelf. Ald. Rob. Turn. χοᾶν conj. Stanl. σὺν κτύπῳ] συγκόπτῳ Rob. σὺν κόπτῳ Stanl. συγκύπτῳ Turn. σὺν κύπτῳ Ald. Vict. σὺν κτύπῳ conj. Arnald. recepit Porſon. σὺν κόπῳ Pauw.

v. 22. φοινίοις ἀμυγμοῖς] φοίνισσα γωγμοῖς. Ita Guelf. Ald. corrupte. φοίνισσ' ſine ἀμυγμοῖς Rob. φοίνισσα γ' ὠγμοῖς Turn. φοίνισσα μυγμοῖς Victor. Cant. etc. φοινισσ' ἀμυγμοῖς conj. Sophian. Stanlejus vero ſuaſit illam, quam edidimus lectionem, probante Heathio, ut metro convenientem.

v. 24. δ' ἰυγμοῖς] διοιγμοῖσι Guelf. Ald. Rob. Cant. Vict. δ' ὠγμοῖσι Turn. δ' ἰυγμοῖσι conj. Cant. quod placet Stanlejo et Heathio, qui tamen abjiciendum eſſe putabant jota paragogicum, ut metro conſuleretur. αἰαγμοῖσι mavult Abreſch.

v. 25. λινὸφθόροις] Vulg. λινοφθόροι.

v. 27. πρόστερνοι] πρόστελνοι Ald. Rob. mendoſe. στολμοὶ] commate hic diſtinguit Vict.

ἀντιστρ. α'. Τορὸς γὰρ ὀρθόθριξ φόβος
Δόμων ὀνειρόμαντις, ἐξ ὕπνου κότον
Πνέων, ἀωρόνυκτον ἀμβόαμα
Μυχόθεν ἔλακε περὶ φόνῳ,
Γυναικείοισιν ἐν δώμασιν βαρὺς πιτνῶν.
Κριταὶ δὲ τῶνδ' ὀνειράτων
Θεόθεν ἔλακον ὑπέγγυοι
Μέμφεσθαι τοὺς γᾶς
Νέρθεν περιθύμως,
Τοῖς κτανοῦσί τ' ἐγκοτεῖν.
στρ. β'. Τοιῶνδ' ἐπὶ χάριν ἄχαριν ἀποτρόπον κακῶν,
Ἰὼ γαῖα, μαῖα,

Μω-

VARIETAS LECTIONIS.

v. 30. γὰρ ὀρθόθριξ φόβος] γὰρ φοῖβος ὀρθόθριξ Guelf. Ald. Rob. γὰρ φόβος ὀρθόθριξ Turn. Vict. φόβος γὰρ ὀρθόθριξ Arn. Quod edidimus Heathio auctore, metro versus antithetici respondet.

v. 33. ἔλακε] ἔλαχε Guelf. Ald. περὶ φόνῳ] Sic emendavi vulgatum περὶ φόβῳ. Pauw. conj. περίφοβον vel περιφόβως. Neutrum tamen proficit ad incommodum vulgatae sublevandum.

v. 34. γυναικείοισιν] γυναικίοισιν Ald. Rob. δώμασιν] Sic Ald. Vict. Cant. δόμασιν Rob. βαρὺς] Sic Porson. metro convenienter. Vulg. βαρύ.

v. 35. δὲ] Particulam quae abest ab edd. inserendam hic esse sensus et metri caussa vidit Arnaldus. κριταί τε Pors.

v. 36. ἔλακον] ἔλαχον Guelf. Ald. Rob.

v. 40. τοιῶνδ'] Sic edidimus pro vulg. τοιάνδε. Nempe concinnior ad sensum est structura verborum τοιῶνδε κακῶν ἀποτρόπον μωμένα etc. ἐπὶ ex Hermanni emendatione insertum.

v. 41. γαῖα μαῖα] Sic Guelf. Ald. Vulg. γαῖα γαῖα.

Μωμένα μ᾽ ἰάλλει
Δύςθεος γυνά. Φοβοῦ-
μαι δ᾽ ἔπος τόδ᾽ ἐκβαλεῖν.
Τί γάρ; λυγρὸν πεσόντος αἵματος πέδῳ.
Ἰὼ πανοιζὺς ἑστία,
Ἰὼ κατασκαφαὶ δόμων.
Ἀνήλιοι βροτοστυγεῖς
Δνόφοι καλύπτουσι δόμους
Δεσποτῶν θανάτοισι.
ἀντιστρ. β΄. Σέβας δ᾽ ἄμαχον ἀδάματον, ἀπόλεμον τοπρὶν,
Δι᾽ ὤτων φρενός τε
Δαμίας περαῖνον,
Νῦν ἀφίσταται. Φοβεῖ-
ται δέ τις· τὸ δ᾽ εὐτυχεῖν
Τόδ᾽ ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον.

VARIETAS LECTIONIS.

v. 43. μ᾽ ἰάλλει] μυλλεῖ vitiose Guelf. Ald. Rob. Vict. Cant. μυλλεῖ Turn. μ᾽ ἰάλλει e veriſſima Stanleji emendatione.

v. 45. τόδ᾽] abeſt Turn. τόδε Rob. Vict. Cant. ἐκβαλεῖν] Sic metri cauſa Stanl. et Pauw. emendandum cenſuerunt. Vulg. ἐκβάλλειν.

v. 46. τί γάρ;] vulg. abeſt interrogandi ſignum. λυγρὸν] λυτρὸν conj. Cant. Verum id penultimam producit, quam hic brevem eſſe oportere monuit Heathius.

v. 47. πανοιζὺς] Sic Ald. Porſon. Vulg. πανοϊζύς.

v. 50. δόμους] τοὺς δόμους Stanl. commendat, ut metrum antithetico verſui reſpondeat. Fruſtra.

v. 53. φρενός τε] φρένας τε Rob. φρενῶν τε Turn.

v. 58. βροτοῖς] βροτοῖσι Rob. καὶ θεοῦ] καὶ abeſt Ald. Turn.

'Ροπὴ δ' ἐπισκοπεῖ δίκας
Ταχεῖα τοὺς μὲν ἐν φάει,
Τοῖς δ' ἐν μεταιχμίῳ σκότου
Μένει χρονίζουσα βρύει,
Τοὺς δ' ἄκραντος ἔχει νύξ.
στρ. γ'. Δι' αἷμ' ἐκποθέν δ' ὑπὸ χθονὸς τροφοῦ
Τίτας φόνος πέπηγ', οὐ διαρυδᾶν.
Διαλγὴς δ' ἄτα διαφέρει
Διασπαράσσει
Παναρκέτας νόσου τὸν αἴτιον.

Οἴγου-

VARIETAS LECTIONIS.

v. 59. δίκας] δίκαν Ald. Vict.

v. 60. τοὺς μὲν] Vulg. τοῖς μὲν, praeter Turn. in qua legitur τοὺς, quod nos quoque constructionis causa praetulimus.

v. 61. 62. Vulgo sic legebantur (nisi quod in Ald. εὔχη, in Turn. εὐχῇ est pro ἄχη):

Τὰ δ' ἐν μεταιχμίῳ σκότου
Μένει, χρονίζοντ' ἄχη βρύει

et μένει quidem plerique verbi μένειν tertiam perſ. pl. interpretabantur, χρονίζοντα vero cum ἄχη copulabant. Nos vero μένει χρονίζουσα βρύει reposuimus metri et sententiae causa. Item τοῖς δὲ reſcripsimus pro τὰ δὲ, quod h. l. ineptum est.

v. 64. αἱρ' ἐκποθένδ'] Sic Hermann. Vulg. αἷμά τ' ἐκποθέν. Porſonus edidit: δι' αἵματ' ἐκποθένθ'. Ceterum v. 64—80. Pauwius Epodon constituere judicavit. Canterus Antistrophica fecerat, eaque numeris ſuis restituit Hermannus comm. de metris Pindari p. 198.

v. 65. πέπηγεν, οὐ] πεπηγμένου Ald.

v. 66. διαφέρει τὸν αἴτιον] διασπαράσσει ſine τὸν αἴτιον Ald. Turn.

v. 67. παναρκέτας] παναλκετὰς Ald. Heath. emend. γ' ἀνηκέστοις νόσοις βρύειν. Poſt hunc verſum in edd. repetitur

Τοὺς δ' ἄκραντος ἔχει νύξ.

Pror-

Οἴγοντι δ' οὔτι νυμφικῶν ἑδωλίων
Ἄκος· πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ
Βαίνοντες τὸν χειρομυσῆ φόνον
Καθαίροντες λούσειαν μάτην.
ἀντιστρ. γ'. Ἐμοὶ δ' (ἀνάγκαν γὰρ ἀμφίπτολιν
Θεοὶ προσήνεγκαν· ἐκ γὰρ οἴκων
Πατρώων δούλιον ἐσᾶγον
Αἶσαν δίκαια
Καὶ μὴ δίκαια πρέπον τύχαις βίου,
Βίᾳ φερομένων αἰνέσαι, πικρὸν φρενῶν
Στύγος κρατούσῃ· δακρύω δ' ὑφ' εἱμάτων

VARIETAS LECTIONIS.

Prorſus abſurde. Clarum eſt gloſſatori deberi, qui h. l. conferri juſſerat verſiculum 63. ideoque margini forte adſcripſerat. Itaque eum e textu ſuſtulimus.

v. 68. οἴγοντι] Steph. conj. θίγοντι. Heathius autem ῥιγῶντι, quod minime admittendum.

v. 69. πόροι τε] Sic Rob. Reliquae edd. πόροι δέ.

v. 70. χειρομυσῆ] χαιρομισῆ Ald. χειρομισῆ Turn. Cett. χαιρομυσῆ.

v. 71. Vulg. leg. φόνον καθαίροντες ἰοῦσαν ἄτην. Scaliger et Canter conj. κ. λοῦσαν μάτην. Stanlejus vero: φ. καθαιριοῦντες ἔλλουσαν μάτην. Heathius denique φ. κ. ῥέουσι μάταν. Nos Hermanni emendationem praetulimus.

v. 72. γὰρ ἀμφίπτολιν] ἀμφὶ πτόλιν Rob. Turn. Heathius corr. γ' ἀρ. ἀμφιπόλῳ.

v. 76. τύχαις βίου] Edd. omnes πρέποντ' ἀρχαῖς βίου, niſi quod in Turn. eſt ἀρχαί. Sed veram eſſe lectionem τύχαις conjectura a nobis repertam, in Commentario ad h. l. demonſtravimus.

v. 77. πικρὸν] πικρῶν Ald. Rob. Turn.

Ματαίοις δεσποτᾶν τύχαις,
Κρυφαίοις πένθεσι παχνουμένη.

ΗΛΕΚΤΡΑ.

Δμωαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
Ἐπεὶ πάρεστε τῆςδε προςτροπῆς ἐμοὶ
Πομποί, γένεσθε τῶνδε σύμβουλοι πέρι·
Τύμβῳ χέουσα τάςδε κηδείους χοὰς
Πῶς εὔφρον' εἴπω; πῶς κατεύξωμαι πατρί;
Πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
Γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα;
Τῶν δ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ,
Χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός.
Ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς
Ἔστ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
Στέφη, δόσιν τε τῶν κακῶν ἐπαξίαν;
Ἢ σῖγ' ἀτίμως, ὥςπερ οὖν ἀπώλετο
Πατήρ, τάδ' ἐκχέουσα, γάποτον χύσιν,
Στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν,
Δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
Τῆς δ' ἐστὲ βουλῆς, ὦ φίλαι, μεταίτιαι.
Κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.

Μὴ

VARIETAS LECTIONIS.

v. 79. δεσποτᾶν] δεσπόταν Ald. Rob. Turn. Cant.

v. 80. πένθεσι] πένθεσιν Rob. παχνουμένη] παχνουμένην Ald. Rob.

v. 82. προςτροπῆς] προτροπῆς Ald.

v. 84. τύμβῳ] Add. δὲ Ald. Rob.

v. 85. κατεύξωμαι] κατεύξομαι Ald. Rob.

v. 91. πέμπουσιν] πέμπουσι Ald. Rob.

v. 94. χύσιν] λύσιν Ald.

v. 95. καθάρμαθ' ὥςτις] κάθαρμα θ' ὅςτις Ald. κάθαρμα θ' ὥς τις Rob.

Μὴ κεύθετ' ἔνδον καρδίας, φόβῳ τινός.
Τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει,
Καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
Λέγοις ἂν, εἴ τι τῶνδ' ἔχοις ὑπέρτερον.

ΧΟΡΟΣ.

Αἰδουμένη σοι, βωμὸν ὡς, τύμβον πατρὸς
Λέξω, κελεύεις γὰρ, τὸν ἐκ φρενὸς λόγον.

ΗΛΕΚΤΡΑ.

Λέγοις ἂν, ὥσπερ ᾐδέσω τάφον πατρός.

ΧΟΡΟΣ.

Φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν.

ΗΛΕΚΤΡΑ.

Τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;

ΧΟΡΟΣ.

Πρῶτον μὲν αὑτὴν, χὤστις Αἴγισθον στυγεῖ.

ΗΛΕΚΤΡΑ.

Ἐμοί τε καὶ σοί γ' ἆρ' ἐπεύξομαι τάδε;

ΧΟΡΟΣ.

Αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.

ΗΛΕΚΤΡΑ.

Τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;

ΧΟΡΟΣ.

Μέμνησ' Ὀρέστου κεἰ θυραῖός ἐσθ' ὅμως.

ΗΛΕΚ-

VARIETAS LECTIONIS.

v. 104. τὸν] omiss. Rob.

v. 108. αὑτὴν] αὐτὴν Ald. χὤστις] χ' ὅστις Ald. Vict. Cant. χ' ὥς τις Rob.

v. 109. σοί γ'] σοί τ' Ald. Rob.

v. 112. κεἰ] Sic recte legitur in Ald. Rob. Turn. Male postea invectum καὶ

ΗΛΕΚΤΡΑ.

Εὖ τοῦτο, κἀφρένωσας οὐχ ἥκιστά με.

ΧΟΡΟΣ.

Τοῖς αἰτίοις νῦν, τοῦ φόνου μεμνημένη. . . .

ΗΛΕΚΤΡΑ.

Τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.

ΧΟΡΟΣ.

Ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινὰ . . .

ΗΛΕΚΤΡΑ.

Πότερα δικαστὴν, ἢ δικηφόρον λέγεις;

ΧΟΡΟΣ.

Ἁπλῶς τι φράζουσ', ὅςτις ἀνταποκτενεῖ.

ΗΛΕΚΤΡΑ.

Καὶ ταῦτα μοῦ 'στιν εὐσεβῆ θεῶν πάρα;

ΧΟΡΟΣ.

Πῶς δ' οὔ; τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς.

ΗΛΕΚΤΡΑ.

* * * Ἑρμῆ χθόνιε, κήρυξας ἐμοὶ
Τοὺς γῆς ἔνερθε δαίμονας κλύειν ἐμὰς
Εὐχὰς, πατρῴων δωμάτων ἐπισκόπους

Καὶ

VARIETAS LECTIONIS.

v. 114. μεμνημένη] Minime audiendus est Stanlejus, qui hunc versum quoque Electrae tribuendum censet.

v. 121. Ἑρμῆ χθόνιε κήρυξας ἐμοὶ * sic Rob.

v. 123. δωμάτων] Sensu requirente et auctore Stanlejo sic emendavimus. δ' ὀμμάτων πατρῴων Ald. Rob. πατρῴων ὀμμάτων Turn. π. δ' ὀμμ. in reliquis edd.

Καὶ γαῖαν αὐτὴν, ἣ τὰ πάντα τίκτεται,
Θρέψασά τ' αὖθις τῶνδε κῦμα λαμβάνει.
Κἀγὼ χέουσα τάσδε χέρνιβας βροτοῖς
Λέγω, καλοῦσα πατέρ', ἐποίκτειρόν τ' ἐμέ
Φίλον τ' Ὀρέστην, πῶς ἀνάξομεν δόμοις.
Πεπραμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
Πρὸς τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
Κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων
Φεύγων Ὀρέστης ἐστὶν, οἱ δ' ὑπερκόπως
Ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
Ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
Κατεύχομαί σοι. Καὶ σὺ κλῦθί μου, πάτερ,
Αὐτῇ τε μοὶ δὸς σωφρονεστέραν πολὺ
Μητρὸς γενέσθαι χεῖρα τ' εὐσεβεστέραν.
Ἡμῖν μὲν εὐχὰς τάσδε· τοῖς δ' ἐναντίοις
Λέγω φανῆναί σου, πάτερ, τιμάορον

Καὶ

VARIETAS LECTIONIS.

v. 124. ἣ τὰ πάντα] ἡ τ. π. Ald. κατὰ πάντα Rob.

v. 126. κἀγὼ] Recte Stanlejus dissuasit Desiderii Heraldi correctionem:

Κἀγὼ χέουσα τάσδε χέρνιβας, χοὰς
Λέγω, καλῶ σε, πάτερ ἐποίκτειρόν τ' ἐμέ.

βροτοῖς] βοτοῖς Ald.

v. 127. πατέρ'] πάτερ Rob.

v. 129. πεπραμένοι] Vulg. πεπραγμένοι. Stanl. conjicit πεπρασμένοι. πεπραμένοι Porson. ἀλώμεθα] ἀλώμεθα Rob.

v. 134. μέγα] μέτα Ald.

v. 136. καὶ σὺ] καὶ νῦ Ald.

v. 140. σου] σ' ὦ Cant.

Καὶ τοὺς κτανόντας ἀντικατακανεῖν δίκην.
Ταῦτ' ἐν μέσῳ τίθημι τῆς καλῆς ἀρᾶς
Κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν.
Ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω
Ξὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρῳ.
Τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς.
Ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος
Παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.

ΧΟΡΟΣ.

Ἵετε δάκρυ καναχὲς ὀλόμενον
Ὀλομένῳ δεσπότᾳ
Πρὸς ἔρυμα τόδε κεδνῶν, κακῶν,
Τ' ἀπότροπον ἄγος ἀπεύχετον
Κεχυμένων χοᾶν. Κλῦε δέ μοι, κλῦε,
Σέβας ὦ δέσποτα, 'ξ ἀμαυρᾶς φρενός.
Ὀτοτοτοτοτοτοτοτοῖ· ἰώ
Τίς δορυσθενὴς ἀνὴρ,
Ἀναλυτὴρ δόμων

Σκύ-

VARIETAS LECTIONIS.

v. 141. ἀντικατακανεῖν] Schol. lectionem ἀντικατακτανεῖν memorat, quae ſane concinnior eſt vulgata ἀντικατθανεῖν. Praeferenda tamen eſt metri cauſa ἀντικατακανεῖν, quod Hermannus commendavit.

v. 142. καλῆς] Plane, ut ſic reſcriberemus, pro vulg. κακῆς, ſententia poſtulabat.

v. 151. κεδνῶν κακῶν] Vulg. κακῶν, κεδνῶν. Verum transpoſitionem aperte ſenſus poſtulat. Stanl. conj. ἐπεύχετον.

v. 152. ἄγος] Vitioſe Ald. Rob. Turn. ἄλγος.

v. 154. 'ξ ἀμαυρᾶς] Sic metro aptius, quam vulg. ἐξ ἀμαυρᾶς Heath.

Σκύθικά τ' ἐν χεροῖν παλίντον' ἔνεργα
Βέλη 'πιπάλλων Ἄρης,
Σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη;
* * * * * *

ΗΛΕΚΤΡΑ.

Ἔχει μὲν ἤδη γαπότους χοὰς πατὴρ,
Κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω.
Νέου δὲ μύθου τοῦδε κοινωνήσατε.

ΧΟΡΟΣ.

Λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβῳ.

ΗΛΕΚΤΡΑ.

Ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.

ΧΟΡΟΣ.

Τίνος ποτ' ἀνδρὸς, ἢ βαθυζώνου κόρης;

ΗΛΕΚΤΡΑ.

Εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.

ΧΟΡΟΣ.

Πῶς οὖν; παλαιὰ παρὰ νεωτέρας μάθω;

ΗΛΕΚ-

VARIETAS LECTIONIS.

v. 158. Σκύθικά] Sic Rob. Reliqui Σκύθης, τά. ἔνεργα] Sic Turn. Vulg. ἐν ἔργῳ.

v. 160. βέλη] Suspicor Aeschylum hic scripsisse ξίφη vel simile quid. Post hunc versum, quod nemo adhuc observavit, intercidisse aliquot versiculos necesse est.

v. 161. γαπότους] εὐπότους Rob.

v. 162. μέγιστε] μεγίστη Rob. Turn. Vict. Cant. Post hunc versum lacunam signat Rob. Vict.

v. 164. λέγοις· ἀνορχεῖται Ald. Rob.

v. 168. πῶς οὖν;] Vulg. abest signum interrogandi.

ΗΛΕΚΤΡΑ.

Οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν.

ΧΟΡΟΣ.

Ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.

ΗΛΕΚΤΡΑ.

Καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.

ΧΟΡΟΣ.

Ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.

ΗΛΕΚΤΡΑ.

Αὐταῖσιν ἡμῶν κάρτα προσφερὴς ἰδεῖν.

ΧΟΡΟΣ.

Μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦ τόδε;

ΗΛΕΚΤΡΑ.

Μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.

ΧΟΡΟΣ.

Καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;

ΗΛΕΚΤΡΑ.

Ἔπεμψε χαίτην κουρίμην χάριν πατρί.

ΧΟΡΟΣ.

Οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,
Εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.

ΗΛΕΚ-

VARIETAS LECTIONIS.

v. 170. ἐχθροὶ] ἐχθρᾶς Turn.

v. 173. αὐταῖσιν ἡμῶν] αὐτοῖσιν ἡμῖν Ald. Rob.

v. 177. ἔπεμψε χαίτην] ἔπεμψεν καὶ τὴν Ald. Rob. ἔπεμψε καὶ τὴν Turn. πατρὶ] πατρὸς Ald.

v. 179. ψαύσει] ψαύσῃ Rob.

ΗΛΕΚΤΡΑ.

Κἀμοὶ προςέστη καρδίας κλυδώνιον
Χολῆς, ἐπαίσθην δ' ὡς διανταίῳ βέλει·
Ἐξ ὀμμάτων δὲ διψίων πίπτουσί μοι
Σταγόνες ἄφρακτοι δυςχίμου πλημμυρίδος,
Πλόκαμον ἰδρύση τόνδε· πῶς γὰρ ἐλπίσω
Ἀστῶν τιν' ἄλλον τῆςδε δεσπόζειν φόβης;
Ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο,
Ἐμή γε μήτηρ, οὐδαμῶς δ' ἐπώνυμον
Φρόνημα παισὶ δύςθεον πεπαμένη.
Ἐγὼ δὲ πῶς μὲν ἄντικρυς τάδ' αἰνέσω,
Εἶναι τόδ' ἀγλάϊσμά μοι τοῦ φιλτάτου
Βροτῶν Ὀρέστου; σαίνομαι δ' ὑπ' ἐλπίδος.

Φεῦ.

Εἴθ' εἶχε φωνὴν εὔφρον', ἀγγέλου δίκην,
Ὅπως δίφροντις οὖσα μὴ 'κινυσσόμην,
Ἀλλ' ἢ σάφ' ἦν μοι τόνδ' ἀποπτύσαι πλόκον,

Εἴπερ

VARIETAS LECTIONIS.

v. 180. προςέστη] πρόςεστι Vict.

v. 181. ἐπαίσθην] ἐπώσθην Schol. Turn. Vict. ἐπαίθην Ald. Rob.

v. 182. διψίων] Sic emendavimus ipſi. Vulg. enim δίψιοι ſenſum prorſus pervertit.

v. 183. ἄφρακτοι] Sic Ald. Rob. Reliqui ἄφραστοι. δυς-χίμου] δυςχύμου Turn.

v. 184. ἐλπίσω] ἐλπίζω Ald.

v. 187. Vulg. ἐμὴ δὲ — οὐδαμῶς ἐπώνυμον.

v. 189. ἐγὼ δὲ πῶς] Ita reſcripſi pro vulg. ἐγὼ δ' ὅπως.

v. 192. εὔφρον'] Forte ἔμφρον' Stanl.

v. 193. 'κινυσσόμην] κηνυσσόμην Ald. Rob. Reliquae κινυσσόμην.

v. 194. ἀλλ' ἢ σάφ' ἦν μοι] Ita correxi vulg. ἀλλ' εὖ σαφηνῆ. — ἀποπτύσαι] ἀπέπτυσε Ald. ἀποπτύξαι Rob. quod

placet

Εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος·
Ἢ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοὶ,
Ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴ πατρός.
Ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα
Οἵοισιν ἐν χειμῶσι, ναυτίλων δίκην,
Στροβούμεθ'· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
Σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμήν.
Καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον,
[Ποδῶν ὅμοιοι, τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς.
Καὶ γὰρ δύ' ἐστὸν τώδε περιγραφὰ ποδοῖν]
Αὐτοῦ τ' ἐκείνου καὶ ξυνεμπόρου τινός,
[Πτέρναι τενόντων θ' ὑπογραφαὶ μετρούμεναι]
Εἰς ταυτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις.
Πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορά.

ΟΡΕΣΤΗΣ.

Εὔχου τὰ λοιπὰ, τοῖς θεοῖς τελεσφόρους
Εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.

ΗΛΕΚΤΡΑ.

Ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;

ΟΡΕΣΤΗΣ.

Εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.

ΗΛΕΚΤΡΑ.

Καὶ τίνα σύνοισθά μοι καλουμένη βροτῶν;

ΟΡΕ-

VARIETAS LECTIONIS.

placet Heathio. Sed verum est ἀποπτύσαι.

v. 197. τιμὴ] Sic rescripsimus constructionis pariter ac sensus causa. Vulg. τίμην

v. 211. τί νῦν] τοίνυν Ald.

v. 212. ὧνπερ] ὅνπερ Ald.

ΟΡΕΣΤΗΣ.

Ξύνοιδ' Ὀρέστην πολλά σοι 'κπαγλουμένη.

ΗΛΕΚΤΡΑ.

Καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;

ΟΡΕΣΤΗΣ.

Ὅδ' εἰμί· μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον.

ΗΛΕΚΤΡΑ.

Ἀλλ' ἦ δόλον τιν', ὦ ξέν', ἀμφί μοι πλέκεις.

ΟΡΕΣΤΗΣ.

Αὐτὸς κατ' αὐτοῦ γ' ἆρα μηχανοῤῥαφῶ.

ΗΛΕΚΤΡΑ.

Ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾷν θέλεις.

ΟΡΕΣΤΗΣ.

Κἀν τοῖς ἐμοῖς ἄῤ, εἴπερ ἔν γε τοῖσι σοῖς.

ΗΛΕΚΤΡΑ.

Ὡς ὄντ' Ὀρέστην ταῦτ' ἐγὼ σε προὐννέπω;

VARIETAS LECTIONIS.

v. 214. σοι 'κπαγλουμένη] ἐκπαγλουμένης Ald. σ' ἐκπαγλουμένην Edd. cett. Sed Pauwio Heathioque placuit σ' ἐκπαγλουμένη hoc est σοὶ ἐκπ.

v. 216. μάτευ'] μάστευ' Rob.

v. 218. γ' ἆρα] τ' ἄρα Rob.

v. 220. κἀν τοῖς] καὐτοῖς Rob. κἂν τοῖς ἐμοῖς ἀρ' Turn. κἀν τοῖς ἐμοῖσιν Vict.

v. 221. ταῦτ' ἐγὼ] Sic Porſ. τάδ' ἐγὼ Ald. Rob. τάδε ἐγὼ Vict. τᾷδ' ἐγὼ Turn. Arnaldus mavult: ὡς ὄντ' Ὀρέστην τάδε σ' ἐγὼ προσεννέπω.

ΟΡΕΣΤΗΣ

Αὐτόν με νῦν ὁρῶσα δυσμαθεῖς ἐμέ.
Κουρὰν δ' ἰδοῦσα τήνδε κηδείου τριχὸς
Ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς
Ἀνεπτερώθης, κἀδόκεις ὁρᾷν ἐμέ.
Σαυτῆς δ' ἀδελφοῦ συμμέτρου τῷ σῷ κάρα
Σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχός·
Ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερός,
Σπάθης τε πληγάς, ἐν δὲ θηρίων γραφήν.
Ἐνδὸν γενοῦ, χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας·
Τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικρούς.

ΗΛΕΚΤΡΑ

Ὦ φίλτατον μέλημα δώμασιν πατρός,
Δακρυτὸς ἐλπὶς σπέρματος σωτήριος,
Ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσει πατρός.

Ὦ

VARIETAS LECTIONIS.

v. 222. αὐτόν με νῦν] Sic edidi pro vulg. αὐτὸν μὲν νῦν quod habent Ald. Rob. Vict. Cant. Porſ. invito metro. αὐτὸν μὲν οὖν Turn.

v. 223 ſqq. ita ordinantur in Rob. Κουρὰν — Ἰχνοσκοποῦσα — Σαυτῆς — Ἀνεπτερώθης — Σκέψαι — — In reliquis ita collocantur: Κουρὰν — Ἀνεπτερώθης — Ἰχνοσκοποῦσα — Σαυτῆς — Σκέψαι. Heathio autem hic ordo placet: Κουρὰν — Σαυτῆς — Ἰχνοσκοποῦσα — Ἀνεπτερώθης — Σκέψαι.

v. 229. ἐν δὲ] Vulg. εἰς δὲ. ἠδὲ Turn. ἔς τε conj. Stanlej. θηρίων] θηρίου Rob. nempe ſic emendaverat editor lectionem MS. θηρίον.

v. 230. γενοῦ] μενοῦ Ald. μὲν οὖ Turn. μὴ 'κπλαγῇς] μὴκπλαγιῇ Ald. μὴκπλαγιῶ Rob.

v. 231. οἶδα νῷν] οἶδανῶν corrupte Ald.

v. 233. σωτήριος] Sic edidimus pro vulg. σωτήριον.

Ὦ τερπνὸν ὄνομα τέσσαρας μοίρας νέμων
Ἐμοί! προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον
Πατέρα σε, καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
Στέργηθρον· ἡ δὲ πανδίκως ἐχθαίρεται·
Καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
Πιστὸς δ' ἀδελφὸς ἦσθ' ἐμοὶ σέλας φέρων·
Μόνον Κράτος τε καὶ Δίκη ξὺν τῷ τρίτῳ
Πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό σοι.

ΟΡΕΣΤΗΣ.

Ζεῦ, Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ·
Ἰδοῦ δὲ γένναν εὖνιν αἰετοῦ πατρός,
Θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασι
Δεινῆς ἐχίδνης. Τοὺς δ' ἀπωρφανισμένους
Νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελεῖς

VARIETAS LECTIONIS.

v. 235. ὄνομα] Sic Valckenar. ad Eurip. Phoeniss. v. 415. emendandum censuit. Vulg. ὄμμα. νέμων] Ita rescripsi pro vulg. ἔχον.

v. 237. πατέρα σε] Vulg. πατέρος τε, nisi quod in Ald. est πατέρα τε.

v. 240. σέλας] Ita nunc edidi pro vulg. σέβας.

v. 241. μόνον] μόνος Rob.

v. 242. συγγένοιτό μοι Edd. omnes. In Turneb. hi versus tribuuntur Oresti. Et sane si vera esset lectio συγγένοιτό μοι, huic rationi faveremus. Praestat autem σοί, quod jam Stanl. rescribere jussit.

v. 243—260. in Ald. Electrae tribuuntur.

v. 244. γένναν εὖνιν] γέννα νιναῖε corrupte Ald. γέννα νῦν Rob. αἰετοῦ] ἀετοῦ Porſ.

v. 245. σπειράμασι] Dorismum hic vitare jubet Heathius reponendo σπειρήμασι.

v. 247. ἐντελεῖς] Vulg. ἐντελής.

Θήραν πατρῴαν προςφέρειν σκηνήμασιν.
Οὕτω δὲ κἀμὲ τήνδε τ᾽, Ἠλέκτραν λέγω,
Ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
Ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
Καὶ σοῦ θυτῆρος καί σε τιμῶντος μέγα
Πατρὸς νεοσσοὺς τούςδ᾽ ἀποφθείρας πόθεν
Ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
Οὔτ᾽ αἰετοῦ γένεθλ᾽ ἀποφθείρας πάλιν
Πέμπειν ἔχοις ἂν σήματ᾽ εὐπειθῆ βροτοῖς·
Οὔτ᾽ ἀρχικός σοι πᾶς ὅδ᾽ αὐανθεὶς πυθμὴν
Βωμοῖς ἀρήξει βουθύτοις ἐν ἤμασι.
Κόμιζ᾽, ἀπὸ σμικροῦ δ᾽ ἂν ἄρειας μέγαν
Δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.

ΧΟΡΟΣ.

Ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρός,
Σιγᾶθ᾽· ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
Γλώσσης χάριν δὲ πάντ᾽ ἀπαγγελεῖ τάδε
Πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ᾽ ἐγώ ποτε
Θανόντας ἐν κηκῖδι πισσήρει φλογός.

ΟΡΕ-

VARIETAS LECTIONIS.

v. 248. Θήραν πατρῴαν] θήρα πατρῶα Ald. προςφέρειν] προφέρειν Ald.

v. 251. ἔχοντε] ἔχοντες Ald.

v. 252. σοῦ θυτῆρος] Ita correxi vulg. τοῦ θυτῆρος.

v. 254. εὔθοινον] εὔθυνον Ald. Turn.

v. 25[illegible] αἰετοῦ] ἀετοῦ Porſ.

v. 256. ἔχοις] ἔλοις Ald. ἕλοις Turn.

v. 258. ἐν ἤμασι] ἐγήμασι Ald. vitioſe.

v. 260. κάρτα] omiſſum Rob.

v. 263. ἀπαγγελεῖ] Sic Porſ. ἀπαγγείλῃ Vulg. ἐπαγγείλῃ Rob.

ΟΡΕΣΤΗΣ.

Οὔτοι προδώσει Λοξίου μεγασθενὴς
Χρησμός, κελεύων τόνδε κίνδυνον περᾶν,
Κἀξορθιάζων πολλά, καὶ δυσχειμέρους
Ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος,
Εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους,
Τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων
Ἀχρημάτοισι ζημίαις ταυρούμενον.
Αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε
Τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακά.
Τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα
Βροτοῖς πιφαύσκων εἶπε, τὰς δὲ νῷν νόσους,
Σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις
Λιχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν,
Λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ·
Ἄλλας τ' ἐφώνει προσβολὰς Ἐριννύων
Ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας,

VARIETAS LECTIONIS.

v. 266. οὔτοι] οὔτι Ald. Rob.

v. 268. κἀξορθιάζων] κἀξοθριάζων Ald. κἀξορθριάζων Rob. vitiose.

v. 269. ὑφ' ἧπαρ θερμὸν] ὑφ' ἧς παρθμὸν corrupte Ald. Turn.

v. 272. ἀχρημάτοισι] Sic Rob. ἀποχρημάτοισι Ald. ἀποχρῆμα τοῖσι cett. ταυρούμενον] ταυρούμενος Turn. Audacius quam par est, et sine causa ita corrigendum censet Heathius: Ἀποχρῶν δὲ τάςδε ζημίας, ταυρούμενος. Αὐτός γ' ἔφασκε —

v. 276. Post νῷν commate distinguit Rob. Pro τὰς δὲ legitur τάςδε Vict. Pors.

v. 280. ἄλλας τ' ἐφώνει] Recte sic Stanlejus emendandum censuit. Vulg. ἄλλας τε φωνεῖ.

v. 281. πατρῴων] ματρῴων Rob.

Ὁρῶντι λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρύν.
Τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος,
Ἐκ προστροπαίων ἐν γένει πεπτωκότων,
Καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
Κινεῖ, ταράσσει, καὶ διώκεται πόλεως
Χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας.
Καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
Εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός,
Βωμῶν τ' ἀπείργειν οὐχ ὁρωμένην πατρὸς
Μῆνιν· δέχεσθαι δ' οὔτε συλλούειν τινά·
Πάντων δ' ἄτιμον κἄφιλον θνήσκειν χρόνῳ,
Κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ.
Τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι.
Κεἰ μὴ 'πεποίθη, τοὔργον ἔστ' ἐργαστέον.

Πολλοὶ

VARIETAS LECTIONIS.

v. 282. ὁρῶντι] Vulg. ὁρῶντα. Sed dativum postulat antecedens ἐφώνει. Heathius conj. ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶν γ' ὀφρύν.

v. 284. προστροπαίων] προτροπαίων Ald.

v. 286. διώκεται] διώκεσθαι Ald.

v. 289. λιβὸς] Pleraeque edd. λίβος. Sed vel λιβὸς, vel λίβρυς legendum.

v. 290. 291. οὐχ ὁρωμένην πατρὸς μῆνιν· δέχεσθαι δ' οὔτε συλλούειν τινα] Ita emendavit Hermannus h. l. οὐχ ὁρωμένην πατρὸς μῆνιν δέχεσθαι οὔτε συλλύειν τινα legebatur vulgo, etiam in Rob., ubi tamen asteriscus apponitur vocabulo πατρὸς, tamquam lacunae nota.

v. 294. ἆρα] Edd. ἄρα. Illud auctore Stanlejo metri causa praetulimus.

v. 295. κεἰ μὴ 'πεποίθη] Sic emendavit Hermannus ad Viger. de idiotism. p. 791. Vulg. κεἰ μὴ πέποιθα. ἔστ' ἐργαστέον] Sic Rob. ἐργαστέον Ald. Reliqui ἐξεργαστέον.

Πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
Θεοῦ τ' ἐφετμαί, καὶ πατρὸς πένθος μέγα,
Καὶ προσπιέζει χρημάτων ἀχηνία,
Τὸ μὴ πολίτας εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξῳ φρενί,
Δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν·
Θήλεια γὰρ φρήν· εἰ δὲ μή, τάχ' εἴσεται.

ΧΟΡΟΣ.

Ἀλλ' ὦ μεγάλαι Μοῖραι Διόθεν
Τῇδε τελευτᾶν,
Ἧι τὸ δίκαιον μεταβαίνει.
Ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ
Γλῶσσα τελείσθω, τοὐφειλόμενον
Πράσσουσα Δίκη μέγ' ἀϋτεῖ·
Ἀντὶ δὲ πληγῆς φονίας φονίαν
Πληγὴν τινέτω. Δράσαντι παθεῖν,
Τριγέρων μῦθος τάδε φωνεῖ.

ΟΡΕΣΤΗΣ.

στρ. α'. Ὦ πάτερ, αἰνόπατερ, τί σοι
Φάμενος, ἢ τί ῥέξας
Τύχοιμ' ἄν, ἕκαθεν οὐρίσας
Ἔνθα σ' ἔχουσιν εὐναί,
Σκότῳ φάος ἰσόμοιρον;

VARIETAS LECTIONIS.

v. 296. συμπίτνουσιν] Sic Turn. Porson. συμπίπτουσιν cett.

v. 300. εὐδόξῳ] ἀδόξῳ Rob. e Sophiani emendatione.

v. 308. Δίκη] δίκης Ald. δίκην Rob. μέγ' ἀϋτεῖ] μέγαντι Rob.

v. 312. πάτερ, αἰνόπατερ] μάτερ, αἰνόματερ Rob.

v. 313. ῥέξαις] ῥέξας Ald.

v. 316. ἰσόμοιρον] ἰσοτίμοιρον Ald. Rob.

Χάριτες δ' ὁμοίως
Κέκληται γόος εὐκλεὴς
Προςθοδόμοις Ἀτρείδαις.

ΗΛΕΚΤΡΑ.

ἀντιστρ. α. Κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει
Πολυδάκρυτα πένθη.
Δίπαις τοί σ' ἐπιτύμβιος
Θρῆνος ἀναστενάζει.
Τάφος δ' ἱκέτας δέδεκται
Φυγάδας θ' ὁμοίως.
Τί τῶνδ' εὖ; τί δ' ἄτερ κακῶν;
Οὐκ ἀτρίακτος ἄτα;

ΧΟΡΟΣ.

Ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρήζων
Θείη κελάδους εὐφθογγοτέρους,
Ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων

Παιὼν

VARIETAS LECTIONIS.

v. 318. κέκληται] Sic Ald. Reliqui κέκληνται.

v. 320. νυν] Vulgo νῦν. Illud, metro et sententiae aptius esse viderunt Stanl. et Pauv. Ceterum de transpositione stropharum aliquot sqq. a nobis inducta cf. Commentar. ad h. l.

v. 322. τοι σ' ἐπιτύμβιος] Vulg. ταῖς ἐπιτυμβιδίοις sine sensu. Jam olim emendaveram τοι σ' ἐπιτυμβίδιος probante Hermanno, quo tamen auctore nunc metri causa ἐπιτύμβιος praetuli. In Turn. legitur τοὺς ἐπιτυμβιδίους θρόνους.

v. 326. τί δ' ἄτερ κακῶν] τί δ' ἄτ' ἐν κακῶν Ald. τί δ' αὖτε κακῶς Turn.

v. 327. οὐκ ἀτρίακτος ἄτα] Vulgo post ἄτα puncto distinguitur.

v. 328. ἀλλ' ἔτ' ἂν ἐκ] ἀλλ' ἐκ τ' ἂν Turn.

Παιῶν μελάθροις ἐν βασιλείοις
Νεοκρᾶτα φίλον κομίσειεν.

ΟΡΕΣΤΗΣ.

στρ. β'. Εἰ γὰρ ὑπ' Ἰλίῳ
Πρός τινος Λυκίων, πάτερ,
Δορίτμητος κατηναρίσθης,
Λιπὼν ἂν εὔκλειαν ἐν δόμοισι,
Τέκνων τε κελεύθοις
Ἐπίστρεπτον αἰῶνα κτίσσας
Πολύχωστον ἂν εἶχες
Τάφον διαποντίου γᾶς
Δώμασιν εὐφόρητον,
στρ. γ'. Φίλος φίλοισι τοῖς
Ἐκεῖ καλῶς θανοῦσι,
Κατὰ χθονὸς ἐμπρέπων
Σεμνότιμος ἀνάκτωρ,
Πρόπολός τε τῶν μεγίστων
Χθονίων ἐκεῖ τυράννων·
Βασιλεὺς γὰρ ἦς, ὄφρ' ἔζης,

Μόρι-

VARIETAS LECTIONIS.

v. 331. ἐν βασιλείοις] ἐμβασιλείοις Ald.

v. 332. κομίσειεν] νεοκάτα φίλον κομίζει Ald. corrupte. νεοκρᾶτα φίλον κομίζει Rob. νεοκρᾶτα φίλον γε κομίζοι Vict. etc. κομίσειεν edidit Porson.

v. 334. πρός τινος] πόρτινος Ald.

v. 335. κατηναρίσθης] Vulg. κατεναρίσθης.

v. 338. ἐπίστρεπτον] ἐπὶ στρατὸν Ald. κτίσσας] κτίσας Rob. Porf.

v. 340. διαποντίου γᾶς] διαποντίουτας ita corrupte Rob.

v. 342. φίλος φίλοισι τοῖς ἐκεῖ, Ἐκεῖ καλῶς θανοῦσιν Ald. Turn.

v. 344. κατὰ] καὶ τὰ Ald.

v. 348. ὄφρ'] ὄφρα Ald. etc.

Μόριμον λάχος πιμπλάντων
Χεροῖν πεισιμβρότῳ τε βάκτρῳ·

ἀντιστρ. β'. Μηδ' ὑπὸ Τρωΐοις
Τείχεσι φθίμενος, πάτερ,
Μετ' ἄλλῳ δοριχμῆτι λαῷ
Παρὰ Σκαμάνδρου πόρον τέθαψαι.
Εἴθ' οὖν πάρος ἤ νιν
Κτανόντεσσιν οὕτω δαμῆναι,
Θανατηφόρον αἶσαν
Πρόσω τινὰ πυνθάνεσθαι
Τῶνδε πόνων ἄπειρον.

ΧΟΡΟΣ.

ἀντιστρ. γ'. Τέκνον φρόνημα τοῦ
Θανόντος οὐ δαμάζει
Πυρὸς ἡ μαλερὰ γνάθος,
Φαίνει δ' ὕστερον ὀργάς.

'Οτο-

VARIETAS LECTIONIS.

v. 349. πιμπλάντων] Sic Ald.

v. 350. πεισιμβρότῳ τε βάκρῳ] Edd. omnes πεισίμβροτον τε βάκτρον. Verum dativum requirit sententia. Heathius tamen genitivum praefert.

v. 351. ὑπὸ Τρωΐοις] ὑπὸ Τρωΐας Ald. etc.

v. 352. τείχεσι] τείχεσσι vulg.

v. 353. μετ' ἄλλῳ] μετ' ἄλλων Edd. omnes.

v. 354. τέθαψαι] ἐτάφθης em. Heath.

v. 355 sq. πάρος — δαμῆναι] Ita emendandum censuimus, vulgata lectione πάρος δ' οἱ κτανόντες νιν οὕτως δαμῆναι sensum commodum haud praebente. Hermanno placet: πάροιθε θανὼν ἤ —

v. 362. πυρὸς ἡ] Heathius em. πυρός γ' ἤ.

Ὀτοτύζεται δ᾽ ὁ θνήσκων,
Ἀναφαίνεται δ᾽ ὁ βλάπτων.
Πατέρων τε καὶ τεκόντων
Γόος ἔνδικος ματεύει
Ποινὰν ἀμφιλαφὴς ταραχθείς.

ΗΛΕΚΤΡΑ.

στρ. δ′. Τοῦτο διαμπερὲς οὖς
Ἵκεθ᾽ ἅπερ τι βέλος.
Ζεῦ, Ζεῦ κάτωθεν ἀμπέμπων
Ὑστερόποινον ἄταν
Βροτῶν τλήμονι καὶ πανούργῳ
Χειρί, (τοκεῦσι δ᾽ ὅμως τελεῖται·)
στρ. ε′. Ἐφυμνῆσαι γένοιτό μοι
Πευκήεντ᾽ ὀλολυγμὸν ἀνδρὸς
Θεινομένου, γυναικός τ᾽ ὀλλυμένας.
Τί γὰρ κεύθω φρενί; θύον ἔμπας
Ποτᾶται, πάροιθεν δὲ πρώρας

Δρι-

VARIETAS LECTIONIS.

v. 366. τεκόντων] Stanlej. malebat τέκνων.

v. 368. ποινὰν] Ex emendatione nostra. Vulg. τὸ πᾶν.

v. 369. διαμπερὲς] διαμπρεπὲς Rob. οὖς ἵκεθ᾽] ὡς ἵκετε vulg. Emendatio Hermanno debetur.

v. 370. ἅπερ τι] ἅτε περ Ald. Turn. Vict. Cant. ἅπερ τε Rob.

v. 373. πανούργῳ] πλανούργῳ Ald.

v. 374. δ᾽ ὅμως τελεῖται] δόμοι στελεῖται Rob. γ᾽ ὅμως τελείτω conj. Heath.

v. 377. θεινομένου] θενόμενον Ald.

v. 378. φρενί] Vulg. φρενός. θύον ἔμπας] Sic emendavi vulg. θεῖον ἔμπας.

Δριμείας κραδίας
Θύματος ἔγκοτον στύγος.

ΧΟΡΟΣ.

Ταῦτα μὲν, ὦ παῖ, κρείσσονα χρυσοῦ,
Μεγάλης δὲ τύχης καὶ Ὑπερβορέου
Μείζονα φωνεῖς ὀδυνᾶσα.
Ἀλλὰ διπλῆς γὰρ τῆσδε μαραίνης
Δοῦπος ἱκνεῖται· τῶν μὲν ἀρωγοὶ
Κατὰ γῆς ἤδη, τῶν δὲ κρατούντων
Χέρες οὐχ ὅσιαι στυγερῶν τούτων,
Παισὶ δὲ μᾶλλον γεγένηται.

ΗΛΕΚΤΡΑ.

ἀντιστρ. δ'. Καί ποτ' ἂν ἀμφιθαλὴς
Ζεὺς ἐπὶ χεῖρα βάλοι,
Φεῦ, φεῦ κάρανα δαΐξας,
Πιστὰ γένοιτο χώρᾳ.
Δίκαν δ' ἐξ ἀδίκων ἀπαιτῶ.
Κλῦτε δὲ τὰ χθονίων τετιμέναι.

ΧΟΡΟΣ.

ἀντιστρ. ε'. Πέπαλται δ' αὖτέ μοι φίλον
Κέαρ τόνδε κλύουσαν οἶκτον.

Καὶ

VARIETAS LECTIONIS.

v. 380. δριμείας κραδίας] Sic Hermannus emendavit. Vulg. δριμείας τε καρδίας. δριμὺ ἀκταὶ καρδίας Ald. Rob. At Porſon. δριμὺς ἦται καρδίας.

v. 381. θύματος] Ex Hermanni emendatione. Vulg. θυμός.

v. 392. κάρανα δαΐξας] καραδαναΐξας Ald.

v. 396. πέπαλται] πεπάλαται Ald. Rob.

v. 397. κλύουσαν] Heathius emendandum cenſet κλυούσᾳ γ'. Sed nihil opus.

Καὶ τότε μὲν δύσελπις, σπλάγχνα δέ μοι
Κελαινοῦται πρὸς ἔπος κλυούσῃ.
Ὅταν δ' αὖτ' ἐπ' ἀλκῇ θρασεῖα,
Ἀπέσταξε δ' ἄχος,
Πρὸς τὸ φανεῖσθαί μοι καλῶς.

ΟΡΕΣΤΗΣ.

στρ. ς'. Ποῖ ποῖ δὴ νερτέρων τυραννίδες;
Ἴδετε πολυκρατεῖς Ἀραὶ φθιμένων,
Ἴδεσθ' Ἀτρειδᾶν τὰ λοιπ' ἀμηχάνως
Ἔχοντα καὶ δωμάτων
Ἄτιμα. Πᾷ τίς τράποιτ' ἄν, ὦ Ζεῦ;

ΧΟΡΟΣ.

Ἀλλὰ νόμος μὲν φονίας σταγόνας,
Χυμένας ἐς πέδον, ἄλλο προςαιτεῖν
Αἷμα. Βοᾷ γὰρ λοιγὸς Ἐριννὺν
Παρὰ

VARIETAS LECTIONIS.

v. 398. μοι] Vulg. μου.

v. 399. κελαινοῦται] κελαινῦται Ald. κλυούσῃ] κλύουσα Rob.

v. 400. 401. corrupte in Rob. ὅτ' ἂν τ' αὖτ' ἐπαλκὲς θραρέα πέστασεν ἄχος. ἐπ' ἀλκῇ θρασεῖα] Vulg. ἐπαλκὲς θρασέ'. ἀπέσταξε δ'] Hoc reposui pro vulg. ἀπέστασεν.

v. 403. Hunc versum prorsus ἄμετρον censet Heathius, corrigitque δ' ἐνερτέρων τυραννίδες. Sic efficit jamb. trim. brachyc. τυραννίδος Ald. Turn.

v. 405. ἴδεσθ'] Sic vulg. pro ἴδετ' Turn. Versus enim est antispastic. trim. brachycatal. ex epitrito primo pentasyll. et tribus jambis. *Heath.*

v. 407. ὦ Ζεῦ abest Rob.

v. 408. ἀλλὰ νόμος] ἀλλ' ἄνομος Rob. Post σταγόνας Pors.

v. 410. λοιγὰς Ἐριννὺν] Sic emendavi vulg. λοιγὸν Ἐριννύς.

Παρὰ τῶν πρότερον φθιμένων ἄταν
Ἑτέραν ἐπάγουσαν ἐπ' ἄτᾳ.

ΗΛΕΚΤΡΑ.

ἀντιστ. ϛ'. Τί δ' ἂν εἰπόντες τύχοιμεν, ἢ τάπερ
Πάθομεν ἄχθεα πρός γε τεκομένων
Πάρεστι σαίνειν; τὰ δ' οὔτι θέλγεται.
Λύκος γὰρ ὥστ' ὠμόφρων
Ἄσαντος ἐκ ματρός ἐστι θυμός.

στρ. ζ'. Ἔκοψε κομμὸν Ἄρειον, εἶτε Κισσίας
Πολεμιστρίας νόμοις
Ἀπρηκτα πολύπλαγκτ' ἦν ἰδεῖν
Ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα
Ἄνωθεν ἀνέκαθεν· κτύπῳ δ' ἐπιῤῥοθεῖ
Κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα.

* * * * * * *

Ἰὼ,

VARIETAS LECTIONIS.

v. 411. πρότερον] Sic Porf. Vulg. προτέρων.

v. 412. ἐπάγουσαν ἐπ'] ἀπάγουσαν ἀπ'] Rob. ἐπάγουσ' ἐπ' Turn. ἐπάγουσα γ' ἐπ' Pauw. ἄτᾳ] ἄταν Ald.

v. 413. τί δ' ἂν εἰπόντες] τί δ' ἂν πάντες Ald. τύχοιμεν] Sic Hermannus emendavit. Vulg. τύχοιμεν ἄν. ἢ τάπερ] ὦ πάτερ· Turn.

v. 414. πρός γε τεκομένων] Vulg. πρός γε τῶν τεκομένων. Articulum auctore Hermanno delevimus.

v. 418. ἔκοψε] ἔκοψα Ald. ἔκοψαν Rob.

v. 419. πολεμιστρίας νόμοις] Transpositionem ab Hermanno metri causa factam recepimus. Vulg. νόμοισι πολεμιστρίας.

v. 420. ἄπρηκτα πολύπλαγκτ' ἦν ἰδεῖν] Ex Hermanni correctione. Vulg. ἄπριγκτοι πληκτὰ πολύπλαγκτα δ' ἦν ἰδεῖν.

v. 421. ἐπασσυτεροτριβῆ] ἐπασσυτέρῳ τριβῆ Ald. ὀρέγματα] ὀρύγματα Turn.

v. 422. ἐπιῤῥοθεῖ] Rescribendum ἐπεῤῥόθει. *Heath.*

Ἰώ, ἰώ, δαΐα
Πάντολμε μᾶτερ, δαΐαις ἐν ἐκφοραῖς
Ἄνευ πολιτᾶν ἄνα-
κτ', ἄνευ δὲ πενθημάτων
Ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι.
στρ. η. Ἐμασχαλίσθη δ' ἔθ' ὡς τόδ' εἰδῇς,
Ἔπρασσε δ' ἅπερ νιν, ὧδε θάπτει
Μόρον γε μαιμωμένα
Ἄφερτον αἰῶνι σῷ.
Κλύεις πατρῴους δύας ἀτίμους.

ΟΡΕΣΤΗΣ.

ἀντιστρ. ζ'. Πατρῴϊον λέγεις πατρῴϊον μόρον.

ΗΛΕΚΤΡΑ.

Ἐγὼ δ' ἀπεστάτουν
Ἄτιμος, οὐδενὸς ἀξία.
Μυχοῦ δ' ἄφερκτος πολυσίνου κυνὸς δίκαν
Ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη,
Χαίρουσα πολύδακρυν γόον κεκρυμμένα.

Τοιαῦτ'

VARIETAS LECTIONIS.

v. 429. ἔτλης] ἔτλη Turn.

v. 430. ὡς τόδ' εἰδῇς] Ita Canterus emendandum censuit, nixus antiquae scripturae vestigiis, quae etiam in Rob. occurrunt. Vulgo enim ἐμασχαλίσθης δέ θ' ὡς τότ' ἔδυ.

v. 432. μόρον γε μαιμωμένα] Sic Hermannus emendavit. Vulg. μόρον κτεῖναι μωμένα.

v. 434 κλύεις] κλύω Rob. δύας ἀτίμους] ex emendatione Stanl. Vulg. δυσατίμους.

v. 435. πατρῷόν λέγεις πατρῴϊον μόρον] Vulg. λέγεις πατρῷον μόρον.

v. 436. ἀπεστάτουν] ἐπεστάτουν Rob. Turn.

v. 437. οὐδενὸς] Vulg. οὐδέν.

v. 438. ἄφερκτος] ἄφερτος Rob. μυχῷ δ' ἔφερκτος conj. Stanl.

Τοιαῦτ' ἀκούων ἐν φρεσὶν
Γράφου, δι' ὤτων δὲ συν-
τέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει.
Τὰ μὲν γὰρ οὕτως ἔχει,
Τὰ δ' αὐτὸς ὄργα μαθεῖν.
Πρέπει δ' ἀκάμπτῳ μένει καθήκειν.

ΟΡΕΣΤΗΣ.

ἀντιστρ. η'. Τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι.
Πατρὸς δ' ἀτίμωσιν ἆρα τίσει
Ἕκατι μὲν δαιμόνων,
Ἕκατι δ' ἁμᾶν χερῶν.
Ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν.
στρ. θ'. Σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις.

ΗΛΕΚΤΡΑ.

Ἐγὼ δ' ἐπιφθέγγομαι κεκλαυμένα,
Στάσις δὲ πάγκοινος ὧδ' ἐπιρροθεῖ,
Ἄκουσον ἐς φάος μολών,
Ξὺν δὲ γενοῦ πρὸς ἐχθρούς.
ἀντιστρ. θ'. Ἄρης Ἄρει ξυμβαλεῖ Δίκα Δίκᾳ.
Ἰώ, θεοί, κραίνετ' ἐνδίκως δίκας.

ΧΟΡΟΣ.

VARIETAS LECTIONIS.

v. 442 sq. συντέτραινε] συμμέτραινε Rob. ex editoris correctione. δὲ συντέτραινε Turn. φρενῶν] φρονῶν Ald. Rob. βάσει] βάθει conj. Jacobs.

v. 445. ὄργα] ὀργᾷ Edd. Imperativo hic locum deberi recte intellexit Pauw.

v. 446. ἀκάμπτῳ μένει] ἀκαμπτόμενον vitiose Ald.

v. 448. τίσει] τίσει' ed. Glasg.

v. 451. ὀλοίμαν] ἐλοίμαν Rob.

v. 457. ξυμβαλεῖ] Vulg. ξυμβάλλει.

v. 458. δίκας] H. v. quod vulgo abest addidit Hermannus.

ΧΟΡΟΣ.

Τρόμος μ' ὑφέρπει κλύουσαν εὐγμάτων.
Τὸ μόρσιμον μένει πάλαι,
Εὐχομένοις δ' ἂν ἔλθοι.
στρ. ι. Ὦ πόνος ἐγγενής,
Καὶ παράμουσος ἄτας
Αἱματόεσσα πλαγά.
Ἰὼ δύςστον' ἄφερτα κήδη·
Ἰὼ δυςκατάπαυστον ἄλγος.
ἀντιστρ. ι. Δώμασι δ' ἔμμοτον
Τῶνδ' ἄκος οὐκ ἀπ' ἄλλων
Ἔκτοθεν, ἀλλ' ἀπ' αὐτῶν
Αἰῶν' ἀναιρεῖν, αἱματηρᾶν
Θεᾶν τᾶν κατὰ γᾶς ὅδ' ὕμνος.
Ἀλλὰ κλύοντες, μάκαρες χθόνιοι
Τῆςδε κατευχῆς, πέμπετ' ἀρωγὴν
Παισὶ προφρόνως ἐπὶ νίκην.

VARIETAS LECTIONIS.

v. 459. ſqq. recte Stanlejus Choro aſſignandos eſſe cenſuit.

v. 464. πλαγά] πληγὴ Rob.

v. 465. δύςστον'] Ita ſcribere nunc malui. Vulg. δύςτον'. ἄφερτα] ἀφόρητα Ald. Turn.

v. 466-468. ἄλγος. Δώμασι δ' ἔμμοτον τῶνδ' ἄκος οὐκ ἀπ' ἄλλων] ex emendatione noſtra pro vulg. ἄλγος δώμασιν ἔμμοτον. Τῶν δ' ἐκὰς οὐδ' α. ἄ.

v. 471. θεᾶν τᾶν κατὰ γᾶς] Bene ſic Hermannus. Vulg. θεῶν κατὰ γᾶς.

v. 472. χθόνιοι] θεοὶ Rob.

v. 473. κατευχῆς] κατ' εὐχῆς Rob.

v. 474. παισὶ] παισὶν Rob.

ΟΡΕΣΤΗΣ.

Πάτερ τρόποισιν οὐ τυραννικοῖς θανών,
Αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων.

ΗΛΕΚΤΡΑ.

Κἀγώ, πάτερ, τοιάνδε σου χρείαν ἔχω,
Φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθῳ μόρον.

ΟΡΕΣΤΗΣ.

Οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν
Κτιζοίατ'· εἰ δὲ μή, παρ' εὐδείπνοις ἔσει
Ἄτιμος ἐμπυροῖσι κνισσωτοῖς χθονός.

ΗΛΕΚΤΡΑ.

Κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας
Οἴσω πατρῴων ἐκ δόμων γαμηλίους·
Πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.

ΟΡΕΣΤΗΣ.

Ὦ Γαῖ' ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην.

ΗΛΕΚΤΡΑ.

Ὦ Περσέφασσα, δὸς δέ τ' εὔμορφον κράτος.

ΟΡΕΣΤΗΣ.

Μέμνησο λουτρῶν, οἷς ἐνοσφίσθης, πάτερ.

ΗΛΕΚ-

VARIETAS LECTIONIS.

v. 476. αἰτουμένῳ] αἰτούμενος Rob.

v. 477–481. Electrae tribuuntur Ald. Rob. Glasg.

v. 478. μόρον abest. Ald. Rob. Canterus conj. φυγεῖν με λαμπρὸν θεῖσαν. Forte μέλανα — μόρον Pauw.

v. 481. ἐμπυροῖσι] Sic emend. Canterus. Vulg. ἐν πυροῖσι.

v. 482–509. Electrae tribuuntur Rob.

ΗΛΕΚΤΡΑ.

Μέμνησο δ' ἀμφίβληστρον ᾧ σ' ἐκαίνισαν.

ΟΡΕΣΤΗΣ.

Πέδαις δ' ἀχαλκεύτοις ἐθηρεύθης, πάτερ.

ΗΛΕΚΤΡΑ.

Αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασιν.

ΟΡΕΣΤΗΣ.

Ἆρ' ἐξεγείρει τοῖσδ' ὀνείδεσιν, πάτερ;

ΗΛΕΚΤΡΑ.

Ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;

ΟΡΕΣΤΗΣ.

Ἤ τοι Δίκην ἴαλλε σύμμαχον φίλοις,
Ἢ τὰς ὁμοίας ἄντιδος βλαβὰς λαβεῖν,
Εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις.

ΗΛΕΚΤΡΑ.

Καὶ τῆσδ' ἄκουσον λοισθίου βοῆς, πάτερ,
Ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφῳ.
Οἴκτειρε θῆλυν, ἄρσενός θ' ὁμοῦ γόνον·
Καὶ μὴ 'ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε.
Οὕτω γὰρ οὐ τέθνηκας, οὐδέ περ θανών.
Παῖδες γὰρ ἀνδρὶ κληδόνος σωτήριοι
Θανόντι· φελλοὶ δ' ὡς ἄγουσι δίκτυον,

VARIETAS LECTIONIS.

v. 493–495. Electrae attributi Ald. Rob. Vict. etc.

v. 499. οἴκτειρε] οἴκτειρον Rob.

v. 501. κληδόνος] Stanlejus κλόνες legere malebat. Perperam. Nam aut verum est vulg. κληδόνες, aut reponendum κληδόνος, quod nunc fecimus.

Τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνου.
Ἄκου᾽· ὑπέρ σου τοιάδ᾽ ἐστ᾽ ὀδύρματα.
Αὐτὸς δὲ σώζει τόνδε τιμήσας λόγον,
Τίμημα τύμβου, τῆςδ᾽ ἀνοιμώκτου τύχης.
Τὰ δ᾽ ἄλλ᾽, ἐπειδὴ δρᾷν κατώρθωσαι φρενί,
Ἔρδοις ἂν ἤδη, δαίμονος πειρώμενος.

ΟΡΕΣΤΗΣ.

Ἔσται· πυθέσθαι δ᾽ οὐδέν ἐστ᾽ ἔξω δρόμου,
Πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου
Μεθύστερον τιμῶσ᾽ ἀνήκεστον πάθος·
Θανόντι δ᾽, οὐ φρονοῦντι, δειλαία χάρις
Ἐπέμπετ᾽· οὐκ ἔχοιμ᾽ ἂν εἰκάσαι τάδε
Τὰ δῶρα, μείω δ᾽ ἐστὶ τῆς ἁμαρτίας.
Τὰ πάντα γάρ τις ἐκχέας ἀνθ᾽ αἵματος
Ἑνός, μάτην ὁ μόχθος· ὧδ᾽ ἔχει λόγος.
Θέλοντι δ᾽, εἴπερ οἶσθα, μοι φράσον τάδε.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 503. λίνου] Sic Rob. Recte. Ceterae edd. λίνον. λίνου confirmatur auctoritate Clementis Alex. Strom. lib. II. p. 422.

v. 505. 506. αὐτὸς δὲ — τύχης] Sic Ald. Turn., nisi quod pro τῆςδ᾽ legitur τῆς. In Rob. additur versiculus: καὶ μὴν ἀμόμφητον δέ τινα τὸν λόγον. In Vict. et seqq. legitur sic:

Αὐτὸς δὲ σώζῃ τόνδε τιμήσας λόγον
Καὶ μὴν ἀμόμφητον δέ τινα τὸν λόγον
Τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης.

v. 512. θανόντι] Vulg. θανοῦντι. οὐ φρονοῦντι] ἀφρονοῦντι Ald.

v. 514. μείω] μέσῳ Rob. corrupte.

v. 517. οἶσθά μοι] Sic Rob. οἶσθ᾽ ἐμοὶ Ald. Turn. Vict.

ΧΟΡΟΣ.

Οἶδ', ὦ τέκνον, παρῆν γάρ· ἔκ τ' ὀνειράτων
Καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη
Χοὰς ἔπεμψε τάςδε δύςθεος γυνή.

ΟΡΕΣΤΗΣ.

Ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ' ὀρθῶς φράσαι;

ΧΟΡΟΣ.

Τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει...

ΟΡΕΣΤΗΣ.

Καὶ πῆ τελευτᾷ καὶ καρανοῦται λόγος;

ΧΟΡΟΣ.

Ἐκ σπαργάνοισι παιδὸς ὁρμῆσαι δίκην
Τινὸς βορᾶς χρήζοντα, νεογενὲς δάκος,
Καὐτὴ προσέσχε μαζὸν ἐν τὠνείρατι.

ΟΡΕΣΤΗΣ.

Καὶ πῶς; ἄτρωτον οὖθαρ ἦν ὑπὸ στυγός;

VARIETAS LECTIONIS.

v. 518. παρῆν] πάρει Rob.

v. 521. πέπυσθε] πέπυσαι Turn. πεῦσθε Ald.

v. 523. καὶ πῆ] καὶ παῖ Ald. Rob. Turn.

v. 524. ὁρμῆσαι] Sic ed. Glasg. Vulg. ὁρμίσαι. δίκην] δίκαν Turn.

v. 525. νεογενὲς] νεορενὲς Ald. Rob. Vict. Minime audiendus Abreſchius, qui huic verſui Oreſtis perſonam praeponendam cenſet, ſententiamque interrogative efferendam.

v. 526. καὐτὴ — ἐν τὠνείρατι], Sic Glasg. Vulg. αὐτὴ π. μ. ἐν τ' ὀνείρατι.

v. 527. οὖθαρ ἦν] οὐ χάριν Ald. Rob. οὐκ ἄρ' ἦν Turneb. etc. οὖθαρ verum eſſe divinavit Pauw. ὑπὸ στυγός] ὑποστύγος Rob. Nihil autem durius eſt Heathii ra-

ΧΟΡΟΣ.

Ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.

ΟΡΕΣΤΗΣ.

Οὔτοι μάταιον ἀνδρὸς ὄψανον πέλει. –

ΧΟΡΟΣ.

Ἡ δ' ἐξ ὕπνου κέκραγεν ἐπτοημένη.
Πολλοὶ δ' ἀνῆθον, ἐκτυφλωθέντες σκότῳ,
Λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν·
Πέμπει τ' ἔπειτα τάςδε κηδείους χοάς,
Ἄκος τομαῖον ἐλπίσασα πημάτων. –

ΟΡΕΣΤΗΣ.

Ἀλλ' εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ
Τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεςφόρον.
Κρίνω δέ τοι νὶν ὧδε συγκόλλως ἔχειν.
Εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλείπων ἐμοὶ
Ὄφις, ἅτε παῖς, ἐν σπαργάνοις ὡρμίζετο,

Καὶ

VARIETAS LECTIONIS.

ratione: Καὶ πῶς (ἄτρωτος οὐκ ἄρ' ἦν ὑπὸ) στύγος; quod ille ſic exponit: Et *quid fecit deteſtandum illud monſtrum? Non certe ab illa invulnerata manſit?*

v. 530. κέκραγεν] κέκλαγεν Ald. Turn.

v. 531. ἀνῆθον] Edd. ἀνῆλθον conſenſu. ἐκτυφλωθέντες] ἐντυφλωθέντες Rob.

v. 537. ὧδε] Vulg. ὥστε.

συγκόλλως] συσκόλλως vitioſe Rob. δυςκόλως Turn.

v. 539. ὄφις — ὡρμίζετο] Sic emendavi. vulg. ὄφις τε πᾶσιν σπαργάνοις ὡπλίζετο. In Ald. οὗ φεῖσε πᾶσα σπαργάνη ὁπλίζετο. Idem habet Rob., niſi quod pro ὁπλίζετο legitur πλείζετο. Vulg. ὄφις τε πᾶσιν σπαργάνοις ὡπλίζετο. Heathius legendum exiſtimat: ὄφις γε, παῖς ἐν σπαργάνοις ὥς, ἵζετο.

Καὶ μασθὸν ἀμφέχασκ' ἐμοῦ θρεπτήριον,
Θρόμβῳ δ' ἔμιξεν αἵματος φίλον γάλα,
Ἡ δ' ἀμφὶ τάρβει τῷδ' ἐπῴμωξεν πάθει,
Δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
Θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ' ἐγὼ
Κτενῶ νιν, ὡς τοὔνειρον ἐννέπει τόδε.
Τερασκόπον δὲ τῶνδέ, σ' αἱροῦμαι πέρι.

ΧΟΡΟΣ.

Γένοιτο δ' οὕτως. Τἄλλα δ' ἐξηγοῦ φίλοις·
Τοὺς μέν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾷν λέγων.

ΟΡΕΣΤΗΣ.

Ἁπλοῦς ὁ μῦθος· τήνδε μὲν στείχειν ἔσω,
Αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς·
Ὡς ἂν δόλῳ κτείναντες ἄνδρα τίμιον
Δόλῳ τε καὶ ληφθῶσιν ἐν ταὐτῷ βρόχῳ,
Θανόντες ᾗ καὶ Λοξίας ἐφήμισεν,
Ἄναξ Ἀπόλλων, μάντις ἀψευδής, τὸ πρίν.
Ξένῳ γὰρ εἰκώς, παντελῆ σάγην ἔχων,
Ἥξω ξὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας

 Πυλά-

VARIETAS LECTIONIS.

v. 540. ἀμφέχασκ'] ἀμφέσχηκ' Rob. ἐμοῦ dedi pro vulg. ἐμόν.

v. 542. ἀμφὶ τάρβει] Sic Glasg. Vulg. ἀμφιταρβὴς, nisi quod in Ald. et Rob. corrupte legitur ἀμφιταρβίτω.

v. 543. τοί νιν] τοίνυν Ald. Turn.

v. 545. κτενῶ] κτείνω Rob.

v. 548. τοὺς μέν] ex emendatione Stanl. Antea legebatur τοὺς ἕν τι π. In Ald. Rob. Turn. Vict. τοὺς δ' ἕν τι ποιεῖν.

v. 552. δόλῳ τε] δόλῳ γε mavult Pauw. Sed nihil mutandum. ἐν ταυτῷ] ἐν τ' αὐτῷ Rob.

v. 556. ἐφ' ἑρκείους] ἐφερκίους Ald. ἐφ' ἑρκίους Rob.

Πυλάδη, ξένος τε καὶ δορύξενος δόμων.
Ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησσίδα,
Γλώσσης αὐτὴν Φωκίδος μιμουμένω.
Κεὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ
Δέξαιτ', ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς,
Μενοῦμεν οὕτως, ὥστ' ἐπεικάζειν τινὰ
Δόμοις παραστείχοντα, καὶ τάδ' ἐννέπειν·
Τί δὴ πύλῃσι τὸν ἱκέτην ἀπείργετε;
Αἴγισθος εἴπερ οἶδεν ἔνδημος παρών...
Εἰ δ' οὖν ἀμείψω βηλὸν ἕρκειον πυλῶν
Κἀκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρός,
Ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα
Ἐρεῖ, σάφ' ἴσθι, καὶ κατ' ὀφθαλμοὺς βαλεῖ,
Πρὶν αὐτὸν εἰπεῖν· Ποδαπὸς ὁ ξένος; νεκρὸν
Θήσω, ποδώκει περιβαλὼν χαλκεύματι.
Φόνου δ' Ἐριννὺς οὐχ ὑπεσπανισμένη

Ἀκρα-

VARIETAS LECTIONIS.

v. 558. ἥσομεν] οἴσομεν Ald. Rob.

v. 560. 561. mire depravati ſic leguntur in Ald. οὔτις ἂν φαιδρῷ φρενὶ λέξαι τ' ἐπειδὴ δαίμονα ἴδομος κακοῖς. In Rob. οὔτις ἂν φαιδροὺς φρενὶ λέξαιτ' ἐπειδή δαιμοι αἴδομος κακεῖ.

v. 560. κεὶ δὴ] Sic Valckenaer ad Eurip. Phoen. v. 1001. em. Vulg. καὶ δή. οὔτις ἂν] Stanl. conj. εἴτις οὐ.

v. 562. ὥστ' ἐπεικάζειν] ὡς ἂν ἐπεικάζειν Ald. ὡς ἐπεικάζειν Turn.

v. 563. παραστείχοντα] παραστίχοντα Ald. Rob. Turn.

v. 564. ἀπείργετε] ἀπείργεται Rob.

v. 566. βηλὸν] βαλὼν Ald. Rob. ἕρκειον] ἑρκείων conj. Stanlej.

v. 569. ἐρεῖ] ἕρπει conj. Pauw. βαλεῖ] βαλεῖν Ald. ἔλθοι — βάλοι commendat Heath. At non opus eſt emendatione.

Ἄκρατον αἷμα πίεται τρίτην πόσιν.
Πρόσθ' οὖν σὺ μὲν φύλασσε τἀν οἴκῳ καλῶς,
Ὅπως ἂν ἀρτίκολλα συμβαίνῃ τάδε.
Ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν
Σιγᾶν δ' ὅπου δεῖ, καὶ λέγειν τὰ καίρια.
Τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω
Ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι.

ΧΟΡΟΣ.

στροφὴ ά. Πολλὰ μὲν γᾶ τρέφει
Δεινὰ δειμάτων ἄγη,
Πόντιαι τ' ἀγκάλαι κνωδάλων
Ἀνταίων βροτοῖς
Πλάθουσι βλάσταις, καὶ πεδαιφνίους
Λαμπάδας πεδαόρους

Πτῆνα

VARIETAS LECTIONIS.

v. 574. πρόσθ' οὖν] σὺ οὖν Ald. etc. quod ſequentibus minime convenit. πρόσθ' οὖν in peroratione Aeſchylo familiare.

v. 580. γᾶ] Sic edidi, ut etiam editor Glasg. fecit, metro convenienter. γὰρ Ald. Rob. γ' ἀὴρ Turn. Vict. Cant.

v. 581. δεινὰ] δεινὰ καὶ Ald. Robort. Turneb. Vict. Cant. καὶ omittendum cenſuit Heath. ἄγη reſcripſi pro vulg. ἄχη.

v. 582. ἀγκάλαι] ἀγκάλων Rob.

v. 583. βροτοῖς] βροτοῖσι Ald. Rob. Turn. Cant. Porſon.

v. 584. 585. βλάσταις καὶ πεδαιφνίους λαμπάδας πεδαόρους] ex emendatione noſtra. βλαστοῦσι καὶ πεδαίχμιοι λαμπάδες πεδάμαροι Ald. Rob. Cant. βλαστοῦσι καὶ μεταίχμιοι λαμπάδες πεδάμαροι Turn. πεδάοροι Glasg.

Πτῆνά τε καὶ πεδοβά-
μονα κἀνεμοέντων
Αἰγίδων φρίσσει κότον.
ἀντιστρ. α'. Ἀλλ' ὑπέρτολμον ἀν-
δρὸς φρόνημα τις λέγοι,
Καὶ γυναικῶν φρεσὶν τλημόνων,
Καὶ παναθλίους
Ἔρωτας ἄτᾳ συννόμους βροτῶν;
Συζύγους δ' ὁμαυλίας
Θηλυκρατὴς ἀπέρω-
πος ἐρὼς παρανικᾷ
Κνωδάλων τε καὶ βοτῶν.
στροφὴ β'. Ἴστω δ', ὅστις οὐχ ὑποπτέροις
Φροντίσιν δαείς,
Τὰν ἁ παιδολύ-
μας τάλαινα Θεστιὰς μήσατο
Πυρδαῆ τινα πρόνοιαν,
Καίουσα παιδὸς δαφοινὸν

Δαλὸν

VARIETAS LECTIONIS.

v. 586. πεδοβάμονα] πεδοβάμονες ἀνεμοέντων placet Heathio.

v. 588. φρίσσει] Ex Heathii emendatione. Vulg. φράσαι.

v. 592. καὶ παναθλίους] Ita correxi vulg. παντόλμους metri causa. Heathio placebat παντολμίους.

v. 593. ἄτᾳ] Vulg. ἄταισι.

v. 595. ἀπέρωπος] ἀπέρωτος vulg. ἀπέρωπος ex Etymol. M. et Hesychio.

v. 597. βοτῶν] Sic Rob. βροτῶν vulg.

v. 599. ὑποπτέροις] ὑπόπτερος Ald. Rob.

v. 600 sq. ἁ παιδολύμας] ἄπαιδολύμας corrupte Ald.

v. 602. πυρδαῆ] πυρδαὴς Turn. Vict.

v. 603. καίουσα] Sic ed. Glasg. καΐθουσα Ald. κ' αἴθουσα Rob. Turn. Vict.

Δαλὸν ἥλικ', ἐπεὶ μολὼν
Ματρόθεν κελάδησε,
Ξύμμετρόν τε διαὶ βίου
Μοιρόκραντον ἐς ἦμαρ.
ἀντιστρ. β'. Ἄλλαν δεῖ τιν' ἐν λόγοις στυγεῖν
Φοινίαν Σκύλλαν,
Ἅτ' ἐχθρῶν ὕπερ
Φῶτ' ἀπώλεσεν φίλον, Κρητικοῖς
Χρυσεοκμήτοισιν ὅρμοις
Πεισθεῖσα, δώροισι Μίνω,
Νῖσον ἀθανάτας τριχὸς
Νοσφίσασα προβούλως
Πνείοντ' ἃ κυνόφρων ὕπνῳ·
Κιχάνει δέ μιν Ἑρμῆς.
στρ. γ'. Ἔπειτ' ἐπιμνησόμεσθ' ἀμειλίχων

Πόνων

VARIETAS LECTIONIS.

v. 604. ἥλικ'] ἥλικα Turn. ἡνίκ' ἐπιμολὼν Ald.

v. 607. μοιρόκραντον] μοιροκραντοέδ' ἐς ἦμαρ Ald. μοιρόκρατον δ' Rob. Vict. μοιρόκρατον sine δὲ Turn.

v. 608. ἄλλαν δεῖ] ἀλλὰ δὴ Ald. Rob. Vict. ἀλλὰ δεῖ Turn. Glasg.

v. 610. ὕπερ] Sic Glasg. Vulg. ὑπαί.

v. 611. ἀπώλεσεν] ἀπώλεσε Turn.

v. 612. χρυσεοκμήτοισιν] Ex Hermanni emendatione. Vulg. χρυσεοδμήτοισιν.

v. 613. πεισθεῖσα] πειθήσασα Ald. Rob. Vict. πείθουσα conj. Pauw.

v. 615. νοσφίσασα προβούλως] Sic Glasg. νοσφίσασ' ἀπροβούλως Ald. Turn. νόσφισ' ἀπρ. Rob.

v. 616. ὕπνῳ] πνέον θ' ἀκανόφρων ὕπνω corrupte Ald. πνέονθ' ἃ κυνόφρων ὕπνῳ Rob. πνέονθ' ἀγανόφρονι ὕπνῳ Turn.

v. 618. ἔπειτ' ἐπιμνησόμεσθ'] Sic emendavi lectionem ἐπεὶ δ' ἐπεμνήσαμεν Ald. Turn. Vict. ἐμνήσαμεν Rob. ἐπεμνησάμεσθ' conj. Pauw. recepit ed. Glasg.

Πόνων ἀκραίους, τὸ δυςφιλὲς γαμή-
λευμ᾽ ἀπεύχετον δόμοις,
Γυναικοβούλους τε μήτιδας φρενῶν
Ἐπ᾽ ἄνδρα τευχεςφόρον,
Ἐπ᾽ ἄνδρα δάοισιν ἐπικότου σέβας,
Τίοντ᾽ ἀθέρμαντον ἑστίαν δόμων
Γυναικείᾳ πάντλαμον᾽ αἰχμᾷ.
ἀντιστρ. γ'. Κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον
Λόγῳ· γοᾶται δὲ δήπουθεν κατά-
πτυστον· εἰκάσαι δέ τις
Δεινὸν τόδ᾽ ἂν Λημνίοισι πήμασι.
Θεοστυγήτῳ δ᾽ ἄγει
Βροτῶν ἀτιμωθὲν οἴχεται γένος.
Σέβει γὰρ οὔτις τὸ δυςφιλὲς θεοῖς.
Τί τῶνδ᾽ οὐκ ἐνδίκως ἀγείρω;
στρ. δ'. Τῷ δ᾽ ἄγχι πλευμόνων ξίφος
Διανταίαν ὀξυπευκὲς σοῦται
Διαὶ δίκας· τὸ μὴ θέμις γὰρ οὐ
Λὰξ πεδοῖ πατούμενον

Τὸ

VARIETAS LECTIONIS.

v. 619. ἀκραίους, τὸ] Ita correxi vulg. ἀκαίρως δέ.

v. 622 ſqq. Vulg. Ἐπ᾽ ἀνδρὶ τευχεςφόρῳ, Ἐπ᾽ ἀνδρὶ δηΐοις ἐπικότῳ σέβας, Τίων δ᾽ ἀθερμάντον ἑστίαν δόμων Γυναικείαν ἄτολμον αἰχμάν.

v. 624. τίοντ᾽] ποιῶνδ᾽ Turn. τίω δ᾽ conj. Stanl.

v. 627. δήπουθεν] δήποθ᾽ αἰ Rob.

v. 628. 629. εἰκάσαι δέ τις Δεινὸν τόδ᾽ ἂν] Ita metri et ſenſus cauſa reſcripſi. Vulg. εἴκασε δέ τις Τὸ δεινὸν αὖ.

v. 630. ἄγει] Hoc praeferendum duxi vulg. ἄχει.

v. 634. πλευμόνων] πνευμόνων Rob.

v. 635. διανταίαν] δι᾽ ἀνταίαν Ald. Turn.

v. 636. διαὶ] Sic Ald. Porſon. Vulg. διά.

v. 636. 637. τὸ μὴ — πατούμενον] Ex Hermanni emen-

Τὸ πᾶν Διὸς
Σέβας παρεκβάντος οὐ θεμίστως.
ἀντισ. δ. Δίκας δ' ἐρείδεται πυθμήν·
Προσχαλκεύει δ' αἶσα φασγανουργός·
Τέκνον δ' ἐπειςφέρει δόμοις νέον
Αἱμάτων παλαιτέρων.
Τείνει μύσος
Χρόνῳ κλυτὴ βυσσόφρων Ἐριννύς.

ΟΡΕΣΤΗΣ. ΠΥΛΑΔΗΣ. ΟΙΚΕΤΗΣ.
ΧΟΡΟΣ.

ΟΡΕΣΤΗΣ.

Παῖ, παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον.
Τίς ἔνδον, ὦ παῖ; παῖ, μάλ' αὖθις, ἐν δόμοις;
Τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ,
Εἴπερ φιλόξεν' ἐστὶν Αἰγίσθου δίαι.

ΟΙΚΕ-

VARIETAS LECTIONIS.

emendatione. Vulg. τὸ μὴ θέμις γὰρ λὰξ πέδον πατούμενον.

v. 640. παρεκβάντος] Sic Hermannus. Vulg. παρεκβάντες. οὐ θεμίστως] Sic Porſ. Vulg. ἀθεμίστως metro invito.

v. 641. δίκας] δίκης Rob.

v. 644. αἱμάτων] δωμάτων Ald. Rob. Turn. Stanlejus ita diſtinguendum exiſtimabat:

τέκνον δ' ἐπεις-
φέρει δώμασι.
Αἱμάτων παλαιτέρων
Τίνει μῦσος etc.

v. 645. Τείνει] Sic Ald. Rob. τίνει Vulg.

v. 650. φιλόξεν' ἐστιν δίαι] Sic Ald. δίαι * βία Rob. Vulg. βία. φιλόξενα 'στιν Ald.

ΟΙΚΕΤΗΣ.

Εἶεν·
Καὶ μὴν ἀκούω. Ποδαπὸς ὁ ξένος; πόθεν;

ΟΡΕΣΤΗΣ.

Ἄγγελλε τοῖσι κυρίοισι δωμάτων,
Πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους.
Τάχυνε δ', ὡς καὶ νυκτὸς ἅρμ' ἐπείγεται
Σκοτεινόν, ὥρα δ' ἐμπόρους μεθιέναι
Ἀγκύραν ἐν δόμοισι πανδόκοις ξένων.
Ἐξελθέτω τις δωμάτων τελεσφόρος
Γυνή τ' ἔπαρχος. Ἄνδρα δ' εὐπρεπέστερον.
Αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμους
Πλόκους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
Πρὸς ἄνδρα κἀσήμηνεν ἐμφανὲς τέκμαρ.

ΟΡΕΣΤΗΣ. ΠΥΛΑΔΗΣ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ. ΗΛΕΚΤΡΑ. ΧΟΡΟΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ξένοι λέγοιτ' ἂν εἴ τι δεῖ· πάρεστι γὰρ
Ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα,
Καὶ θερμὰ λουτρὰ καὶ πόνων θελκτήρια

Στρωμνή,

VARIETAS LECTIONIS.

Ald. Rob. φιλόξενος ἐστιν. Vict. Cant. φιλόξένη 'στιν Porſ.

v. 659. τ' ἔπαρχος] τἄπαρχος Rob. Vulg. τόπαρχος. ἄνδρα δ' ἄνδρα τ' Rob.

v. 662. κἀσήμηνεν] legendum κἀσημήν' ἂν *Heath.*

v. 663 — 668. in Rob. θεράποντι tribuuntur.

Στρωμνὴ, δικαίων τ' ὀμμάτων παρουσία.
Εἰ δ' ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον
Ἀνδρῶν τόδ' ἐστὶν ἔργον, οἷς κοινώσομεν.

ΟΡΕΣΤΗΣ.

Ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·
Στείχοντα δ' αὐτόφορτον οἰκείᾳ σάγῃ
Ἐς Ἄργος, ὥσπερ δεῦρ' ἀπεζύγην πόδας
Ἀγνὼς πρὸς ἀγνῶτ' εἶπε συμβαλὼν ἀνὴρ,
Ἐξιστορήσας καὶ σαφηνίσας ὁδὸν,
Στρόφιος ὁ Φωκεὺς, πεύθομαι γὰρ ἐν λόγῳ·
Ἐπείπερ ἄλλως, ὦ ξέν', εἰς Ἄργος κίεις,
Πρὸς τοὺς τεκόντας, πανδίκως μεμνημένος,
Τεθνεῶτ' Ὀρέστην εἰπέ, μηδαμῶς λάθῃ·
Εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων
Εἴτ' οὖν μέτοικον εἰς τὸ πᾶν ἀεὶ ξένον
Θάπτειν, ἐφετμὰς τάσδε πόρθμευσον πάλιν.
Νῦν γὰρ λέβητος χαλκέου πλευρώματα
Σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου.
Τοσαῦτ' ἀκούσας εἶπον. Εἰ δὲ τυγχάνω
Τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων,
Οὐκ οἶδα, τὸν τεκόντα δ' εἰκὸς εἰδέναι.

ΗΛΕΚ.

VARIETAS LECTIONIS.

v. 670. στείχοντα — σάγῃ] στείχοντα δ' αὐτόφορτοι οἰκίαις ἄγῃ Ald. corrupte. στείχων δι' αὐτόφορτον οἰκίαις ἄγος Rob.

v. 679. ἀεὶ ξένον] ἀείξενον mavult Schneiderus in lex. gr. edit. II.

v. 682. κεκλαυμένου] forsan κεκαυμένου Stanl.

v. 684. προσήκουσιν] προσήκουσα Turn.

ΗΛΕΚΤΡΑ.

Οἲ 'γὼ, κατ' ἄκρας ἐνθάδ' ὡς πορθούμεθα.
Ὦ δυσπάλαιστε τῶνδε δωμάτων Ἀρὰ,
Ὡς πόλλ' ἐπωπᾷς κἀκποδὼν εὖ κείμενα
Τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη,
Φίλων ἀποψιλοῖς με τὴν παναθλίαν.
Καὶ νῦν Ὀρέστης, ἦν γὰρ εὐβούλως ἔχων,
Ἔξω κομίζων ὀλεθρίου βηλοῦ πόδα,
Νῦν δ' ἥπερ ἐν δόμοισι βακχείας καλῆς
Ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει.

ΟΡΕΣΤΗΣ.

Ἐγὼ μὲν οὖν ξένοισιν ὧδ' εὐδαίμοσι
Κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον
Γνωστὸς γενέσθαι καὶ ξενωθῆναι· τί γὰρ
Ξένου ξένοισίν ἐστιν εὐμενέστερον;
Πρὸς δυσσεβείας δ' ἦν ἐμοὶ τόδ' ἐν φρεσὶ,

Τοιόν-

VARIETAS LECTIONIS.

v. 686. οἲ 'γὼ] αὖ ἐγὼ Turn. ἐνθάδ'] ἐν πᾶσ' Ald. Rob. Caeterum v. 686 — 694. in Rob. θεράποντι aſſignantur.

v. 688. ἐπωπᾷς] ἐπ' ὠπαῖς Turn. ἐπ' ὠπᾶς Cant.

v. 692. κομίζων] νομίζων Ald. βηλοῦ] Sic emendavimus pro vulg. πηλοῦ.

v. 693. νῦν δ' ἥπερ] νῦν δήπερ Rob. καλῆς] Pauwius Heathio comprobante corr. κακῆς.

v. 694. ἐλπὶς ἦν] ἐλπὶς ὢν Rob. παροῦσαν ἐγγράφει] προδοῦσαν ἐγγράφει conj. Pauw. παροῦσαν ἐγγράφεις em. Heath.

v. 699. δυσσεβείας δ' ἦν] In edd. abeſt δὲ, quod hic ſupplendum eſſe vidit Pauwius.

Τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις,
Καταινέσαντα καὶ κατεξενωμένον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὔτοι κυρήσεις μεῖον ἀξίων σέθεν,
Οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος·
Ἄλλος δ' ὁμοίως ἦλθεν ἂν τάδ' ἀγγελῶν.
Ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους
Μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα.
Ἄγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων
Ὀπισθόπους δὲ τούσδε καὶ ξυνεμπόρους·
[Κἀκεῖ κυρούντων δώμασιν τὰ πρόσφορα]
Αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε.
Ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
Κοινώσομέν τε κοὐ σπανίζοντες φίλων
Βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι.

VARIETAS LECTIONIS.

v. 701. κατεξενωμένον] Male corrigit Pauw. κατεξηγουμένον.

v. 702. ἀξίων] Sic edidimus postulante sententia et constructione, quod jam Pauwius vidit. Vulg. ἀξίως. Ceterum v. 702—706. et 710. in Robort. θεράποντι, v. 711—724. Orestae tribuuntur.

v. 704. ἀγγελῶν] ἀγγέλλων Rob.

v. 707. 709. omissi Ald. Rob. Turn.

v. 708. Inepte Pauwius sic refingendum opinatur: ὀπισθόπουν δὲ τόνδε καὶ ξυνέμπορον.

v. 719. insititius nobis videtur.

v. 710. ὑπευθύνῳ] ἐπ' εὐθύνῳ Ald. ἐπευθύνῳ Rob.

v. 713. βουλευσόμεσθα] βουλευόμεθα Ald. βουλευόμεσθα Vict.

ΧΟΡΟΣ.

Εἶεν, φίλαι δμωΐδες οἴκων,
Ποτὲ δὴ στομάτων
Δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ.
Ὦ πότνια χθὼν, καὶ πότνι' ἀκτὴ
Χώματος, ἣ νῦν ἐπὶ ναυάρχῳ
Σώματι κεῖσαι τῷ βασιλείῳ,
Νῦν ἐπάκουσον, νῦν ἐπάρηξον.
Νῦν γὰρ ἀκμάζει Πειθὼ δολίαν
Συγκαταβῆναι, νύχιον θ' Ἑρμῆν
Τούσδ' ἐφοδεῦσαι
Ξιφοδηλήτοισιν ἀγῶσιν.

VARIETAS LECTIONIS.

v. 714. εἶεν] εἰ ἐν Rob. φίλαι] φιλία Rob. Legendum φιλιαι, nam φίλος apud Poetas Atticos primam semper corripit. *Heath.*

v. 721. Πειθὼ δολίαν] Sic emendandum esse recte judicavit Pauw. Vulgo Πειθοῖ δολίαν.

v. 722. seq. νύχιον θ' Ἑρμῆν τούσδ' ἐφοδεῦσαι] Ita pulcre correxit Hermannus in diss. de differentia prosae et poët. orat. Vulg. χθόνιον δ' Ἑρμῆν Καὶ τὸν νύχιον τοῖσδ' ἐφοδεῦσαι. In Rob. γ' Ἑρμῆα.

v. 724. ξιφοδηλήτοισιν] ξιφοδημμήτησιν Ald. ξιφοδημήτοισιν Turn.

ΟΙΚΕΤΗΣ. ΓΕΙΛΙΣΣΑ. ΤΡΟΦΟΣ ΟΡΕΣΤΟΥ. ΧΟΡΟΣ.

ΟΙΚΕΤΗΣ.

Ἔοικεν ὠνὴρ ὁ ξένος τεύχειν κακόν·
Τροφὸν δ' Ὀρέστου τήνδ' ὁρῶ κεκλαυμένην.
Ποῖ δὴ πατεῖς, Γείλισσα, δωμάτων πύλας;
Λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος.

ΤΡΟΦΟΣ.

Αἴγισθον ἡ κρατοῦσα τοὺς ξένους καλεῖν
Ὅπως τάχιστ' ἄνωγεν, ὡς σαφέστερον
Ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν
Ἐλθὼν πύθηται τήνδε. Πρὸς μὲν οἰκέτας
Ἔθετο σκυθρωπῶν ἐντὸς ὀμμάτων γέλων
Κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις. Καλῶς
Κείνῃ, δόμοις δὲ τοῖσδε παγκάκως ἔχει
Φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
Ἦ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον
Εὖτ' ἂν πύθηται μῦθον. Ὢ τάλαιν' ἐγώ·

VARIETAS LECTIONIS.

v. 725. ὠνὴρ] Sic emendavi vulg. ἀνὴρ metri causa.

v. 729. ἡ κρατοῦσα τοὺς ξένους] Assentior Stanlejo veram judicanti lectionem ἡ κρατοῦσα πρὸς ξένους. Nisi malis cum Pauwio τοῖς ξένοις.

v. 732. πύθηται] πύθεται vitiose Rob.

v. 733. ἔθετο] Vulg. θέτο. Sed augmentum Atticos haud abjicere bene monuit Heath. σκυθρωπῶν] σκυθρωπὸν Rob. Turn.

v. 734. καλῶς] καλῶν Rob. In Turn. ita legitur: διαπεπραγμένοις καλῶς· Κείνης δόμος —

Ὡς μοι τὰ μὲν παλαιὰ συγκεκραμένα
Ἄλγη δύσοιστα τοῖσδ᾽ ἐν Ἀτρέως δόμοις
Τύχοντ᾽ ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα!
Ἀλλ᾽ οὔτι πω τοιόνδε πῆμ᾽ ἀνεσχόμην.
Τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά·
Φίλον δ᾽ Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβήν,
Ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη
* * * * * * * * * * * *
Καὶ νυκτιπλάγκτων ὀρθίων κελευσμάτων
Καὶ πολλὰ καὶ μοχθήρ᾽ ἀνωφέλητ᾽ ἐμοὶ
Τλάσῃ. Τὸ μὴ φρονοῦν γὰρ, ὡσπερεὶ βοτὸν
Τρέφειν ἀνάγκη (πῶς γὰρ οὔ;) τρόπῳ φρενός·
Οὐ γάρ τι φωνεῖ παῖς ἔτ᾽ ὢν ἐν σπαργάνοις
Ἢ λιμὸς ἢ δίψη τις, ἢ λιψουρία
Ἔχει, νέα δὲ νηδὺς αὐτάρκης τέκνων.
Τούτων προμάντις οὖσα, πολλὰ δ᾽ οἴομαι
Ψευσθεῖσα, παιδὸς σπαργάνων φαιδρύντρια,
Γναφεὺς τροφεύς τε ταυτὸν εἰχέτην τέλος.
Ἐγὼ διπλᾶς δὲ τάσδε χειρωναξίας
Ἔχουσ᾽ Ὀρέστην ἐξεδεξάμην πατρί.

Τεθνη-

VARIETAS LECTIONIS.

v. 745. Poſt hunc verſum aliquot verſiculos intercidiſſe nobis quidem extra dubium eſt. Pauwius tamen difficultatem tolli putat, ſi legatur φίλος δ᾽ Ὀρέστης — τριβὴ — Αἱ νυκτιπλάγκτων etc.

v. 746. νυκτιπλάγκτων] νυκτίπλαγκτον Turn.

v. 748. μοχθήρ᾽] πονήρ᾽ Rob.

v. 752. ἢ λιμὸς] forte ἢν vel εἰ legendum, *Stanl.* Eidem placet διψουρία.

v. 755. ψευσθεῖσα] σπευσθεῖσα corr. Stanl.

v. 756. τροφεὺς] forte τροφὸς Stanl.

Τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι.
Στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμαντήριον
Οἴκων, θέλων δὲ τῶνδε πεύσεται λόγων.

ΧΟΡΟΣ.

Πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον;

ΤΡΟΦΟΣ.

Ὅπως; λέγ' αὖθις, ὡς μάθω σαφέστερον.

ΧΟΡΟΣ.

Εἰ ξὺν λοχίταις, εἴ τε καὶ μονοστιβῆ;

ΤΡΟΦΟΣ.

Ἄγειν κελεύει δορυφόρους ὀπάονας.

ΧΟΡΟΣ.

Μὴ νῦν σὺ ταῦτ' ἄγγελλε δεσπότου στύγει·
Ἀλλ' αὐτὸν ἐλθεῖν, ὡς ἀδειμάντως κλύῃ,
Ἄνωχθ' ὅσον τάχιστα γηθούσῃ φρενί.
Εὐαγγέλῳ γὰρ κρυπτὸς ὀρθώσει λόγῳ.

VARIETAS LECTIONIS.

v. 763. ὅπως] Ita correxi vulg. ἢ πῶς. Canterus conj. τί πῶς; quod ed. Glasg. recepit. Ceterum hic versiculus olim perperam Choro tribuebatur.

v. 767. ἀδειμάντως] ἀδήμαντος Rob.

v. 768. γηθούσῃ] ἀγαθούσῃ Rob. γαθούσῃ Turn. Verum Dorismo nullum hic locum esse bene monuit Heathius.

v. 769. εὐαγγέλῳ] Sic emendavimus ipsi. Vulg. ἐν ἀγγέλῳ, sensu prorsus nullo. Praeterea pro ὀρθώσῃ φρενὶ correxi ὀρθώσει λόγῳ. Stanlejus emendabat: Εὐαγγέλῳ γὰρ κρυπτὸς ὀρθώσῃ φρενί. Pauwius: ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθωθῇ φρενί; *animo enim clam erigatur*

ΤΡΟΦΟΣ.

Ἀλλ' ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις;

ΧΟΡΟΣ.

Ἀλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ.

ΤΡΟΦΟΣ.

Καὶ πῶς; Ὀρέστης γ' ἐλπὶς οἴχεται δόμων.

ΧΟΡΟΣ.

Οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.

ΤΡΟΦΟΣ.

Τί φής; ἔχεις τι τῶν λελεγμένων δίχα;

ΧΟΡΟΣ.

Ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀπεσταλμένα.
Μέλει θεοῖσιν ὧν περ ἂν μέλη πέρι.

ΤΡΟΦΟΣ.

Ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείθομαι λόγοις.
Γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει.

VARIETAS LECTIONIS.

gatur nuncio isto, vel ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὄρθωσις φρενί, in nuncio sit occulta erectio animo. Neutrum admittendum. Heathius: ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθώσει φρένα, is enim qui sub persona nuntii occultus est, animum tibi eriget. Ed. Glasg. ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος.

v. 771. ἀλλ' εἰ] Stanlejo legendum videbatur ἀλλ' ἦ — *Imo Jupiter aliquando etc.*

v. 772. Ὀρέστης γ'] Particulam γε, quae vulgo abest, concinnitatis caussa inserui.

v. 775. τἀπεσταλμένα] τὰ πεπραγμένα Ald. τὰ πεπαλμένα Rob.

v. 776. μέλει] Heathius malebat μέλρι. In Rob. est μέλλει — μέλλη.

v. 777. σοῖς] Veram hanc lectionem tenent Ald. Rob. Male postea invectum τοῖς. πείθομαι] Sic rescripsi pro vulg. πείσομαι.

ΧΟΡΟΣ.

στροφὴ α΄. Νῦν παραιτουμένῃ μοι πάτερ
Ζεῦ θεῶν ὀλυμπίων
Δὸς τύχας νιν τυχεῖν κυρίους
Τε σώφρονας μαιομένοις ἰδεῖν.
Διὰ δίκας πᾶν ἔπος
Ἔλακον Ζεῦ, σὺ δέ νιν φυλάσσοις.
ἀντιστ. α΄. Ἴσχε δ' ἀνδρὸς φίλου πῶλον εὖ-
νιν ζυγέντ' ἐν ἅρματι
Πημάτων, καὶ δρόμῳ προστιθεὶς
Μέτρον δὸς ἀνσωζόμεναν ῥυθμὸν
Τοῦτ' ἰδεῖν δάπεδον
Ἀνομένων βημάτων ὄρεγμα.
στρ. β΄. Ἒ ἔ, πρὸ δ' ἐχθρῶν τῶν ἔσω
Μελάθρων, ὦ Ζεῦ, θές.
Ἐπεί μιν μέγαν ἄρας δίδυμα καὶ
Τριπλᾶ παλίμποινα θέλων ἀμείψει.
Οἵ τ' ἔσω δωμάτων
Πλουτογαθῆ μυχὸν κομίζετε,

VARIETAS LECTIONIS.

v. 781. Vulg. δὸς τύχας, τυχεῖν δ' ἐμοὶ κυρίως.

v. 782. Vulg. τὰ σώφροσιν εὖ μαιομένοις ἰδεῖν.

v. 783. Vulg. διαδικάσαι πᾶν ἔπος.

v. 785. ἴσχε] Pauwii conjectura. Vulg. ἴσθι.

v. 787. καὶ δρόμῳ] Vulg. ἐν δρόμῳ, unde Pauw. conj. ἐνδρόμῳ. δρόμῳ *Heath.*

v. 788. δὸς ἀνσωζόμενον.] Ita rescripsi pro vulg. τίς ἂν σωζόμενον.

v. 790. βημάτων] Sic Ald. κτημάτων Rob. πημάτων Turn. etc.

v. 795. ἔσω] Vulg. ἔσωθε.

v. 796. πλουτογαθῆ] Sic Turn. πλοῦτ' ἀγαθῆ Ald. πλουταγαθῆ Cant. κομίζετε] νομίζετε Ald. Turn.

Κλύετε σύμφρονες θεοί.
Τῶν πάλαι πεπραγμένων
Λύσασθ' αἷμα προσφάτοις δίκαις.
Γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι.
ἀντιστρ. β'. Ὦ μέγα ναίων στόμιον εὖ δὸς
Κρατεῖν δόμων ἄνδρα
Καί νιν ἐλευθερίως λαμπρῶς τ' ἰδεῖν
Φίλοις ὄμμασι δνοφερᾶς καλύπτρας.
Ξυλλάβοι δ' ἐνδίκως
Παῖς ὁ Μαίας ἐπιφθορώτατος
Πρᾶξιν ουρίαν τελῶν.
Ἄσκοπον δ' ἔπος λέγων
Νύκτα πρό τ' ὀμμάτων σκότον φέρεις
Καθ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερον.

Καὶ

VARIETAS LECTIONIS.

v. 800. τέκοι] Poſt h. v. vulgo ſine ſenſu addebatur τόδε καλῶς κτάμενον. Heathius conj. τοῦδε καλῶς κταμένου.

v. 802. κρατεῖν δόμου ἄνδρα] Vulg. ἀνιδεῖν δόμον ἀνδρὸς —

v. 804. φίλοις] φιλίοις Ald. Cant.

v. 805. ξυλλάβοι] ξυμβάλοι Rob.

v. 806. ἐπιφθορώτατος] Ex Hermanni emendatione. Vulg. ἐπιφορώτατος.

v. 807. τελῶν] Sic reſcripſi pro vulg. θέλων. Poſt h. v. vulgo inſeruntur iſta: πολλὰ δ' ἄλλα φανεῖ χρηΐζων κρυπτά.

v. 808. ἄκριτον ἄσκοπον] Vulg. abeſt ἄκριτον.

v. 809. φέρεις] Vulg. φέρει.

v. 810. οὐδὲν ἐμφανέστερον] Edd. omnes οὐδὲν ἐμφανέστερος praeter Rob. in qua legitur οὐδενὶ ἐμφανέστερος.

ἐπῳδός. Καὶ τότε δὴ πλοῦτον
Δωμάτων λυτήριον
Θῆλυν οὐριοστάταν
Ὁμοῦ κρεκτὸν γοήτων νόμον
Μεθήσομεν πόλει.
στροφή. Τὰ δ᾽ εὖ ἐμόν, ἐμὸν
Κέρδος ἀέξεται τόδ᾽, ἄ-
τα δ᾽ ἀποστατεῖ φίλων.
Σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ
Μέρος ἔργων, ἐπαύσας
Θροοῦσα πρὸς σὲ, τέκνον, πατρὸς
Αὐδᾷ πέραιν᾽ ἀνεπίμομφον φάτιν.
ἀντιστρ. Τὰν Περσέως ἔ-
νι φρεσὶ καρδίαν σχέθων,
Τοῖς δ᾽ ὑπὸ χθονὸς φίλοις
Τοῖσι τ᾽ ἄνωθεν προπράσσων

Χάρι-

VARIETAS LECTIONIS.

v. 814. κρεκτὸν] κρεκτῶν Turn.

v. 815. μεθήσομεν] μεθέλσομεν Rob.

v. 820 sq. ἐπαῦσας θροοῦσα — αὐδᾷ] ἔπαυσας πατρὸς ἔργῳ θροοῦσα — πατρὸς αὐδῶν Ald. Sic Rob. nisi quod legit αὐδάν. ἐπαῦσας πατρὸς ἔργῳ θροοῦσα πρὸς σὲ τέκνον, πατρὸς αὐδᾶν Cant.

v. 822. πέραιν᾽ ἀνεπίμομφον φάτιν] Sic muto edidi vestigia secutus ed. Ald., in qua legitur καὶ περαίνων ἐπίμομφαν φάταν. In Rob. Turn. Cant. etc. καὶ περαίνων ἐπίμομφον ἄταν.

v. 823 sq. τὰν Περσέως ἔνι φρεσὶ] Περσέως τε ἐν φρεσὶν Ald. Rob. Π. τ. ἐ. φρεσὶ Cant.

v. 825 sq. φίλοις τοῖσι τ᾽] φίλοις τοῖσιν τ᾽ Ald.

v. 826. πατρὸς] Stanlej. conj. ματρός.

Χάριτας ὀργᾶς λυπρᾶς, ἔν-
δοθεν φονίαν ἄταν τιθείς.
Τὸν αἴτιον δ' ἐξαπολλὺς μόρου.

ΑΙΓΙΣΘΟΣ. ΤΡΟΦΟΣ. ΧΟΡΟΣ.

ΑΙΓΙΣΘΟΣ.

Ἥκω μὲν οὐκ ἄκλητος, ἀλλ' ὑπάγγελος,
Νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς
Ξένους μολόντας, οὐδαμῶς ἐφίμερον,
Μόρον δ' Ὀρέστου. Καὶ τόδ' ἀμφέρειν δόμοις
Γένοιτ' ἂν ἄχθος δειματοσταγὲς φόνῳ
Τῷ πρόσθεν ἑλκαίνοντι καὶ δεδηγμένῳ.
Πῶς ταῦτ' ἀληθῆ καὶ βλέποντα δοξάσω;
Ἢ πρὸς γυναικῶν δειματούμενοι λόγοι
Πεδάρσιοι θρώσκουσι, θνήσκοντες μάτην;
Τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί;

ΤΡΟ-

VARIETAS LECTIONIS.

v. 827. χάριτας ὀργᾶς λυπρᾶς] Ita emendavimus lectionem vulg. χάριτος ὀργὰς λυπρᾶς. In Rob. χάριτος ὀργᾶς λυπρᾶς.

v. 829. μόρου] μόρου Ald. Rob.

v. 832. ἐφίμερον] ἐφήμερον Turn.

v. 833. ἀμφέρειν] αὖ φέρειν Turn.

v. 834. δειματοσταγὲς] Ald. Rob. Turn. vitiose δείματος τάγ' ἐς.

v. 837. δειματούμενοι] forte δειματουμένων *Stanl.* At nihil opus.

ΤΡΟΦΟΣ.

Ἠκούσαμεν μέν, πυνθάνου δὲ τῶν ξένων
Ἔσω παρελθών· οὐδὲν ἀγγέλων σθένος
Ὡς αὐτὸν αὐτῶν ἄνδρα πεύθεσθαι πέρι.

ΑΙΓΙΣΘΟΣ.

Ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον,
Εἴτ' αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρών,
Εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών.
Οὔτοι φρένα κλέψει' ἂν ὠμματωμένην.

ΧΟΡΟΣ. ΑΙΓΙΣΘΟΣ ἔνδον.

ΧΟΡΟΣ.

Ζεῦ, Ζεῦ, τί λέγω, πόθεν ἄρξωμαι
38 Τάδ' ἐπευχομένη, κἀπιθοάζου-
σ', ὑπὸ δ' εὐνοίας
Πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι;
Νῦν γὰρ μέλλουσι μιανθεῖσαι

Πειραὶ

VARIETAS LECTIONIS.

v. 842. ὡς — πέρι] Veram restituisse lectionem nobis videmur. In Aldin. Rob. ὡς αὐτὰς αὐτόν. In Turn. Cant. ὡς αὐτὸς αὐτῶν. Stanlejus ita medendum orationi censebat: ὡς αὐτὸς αὐτὸν ἄνδρα πεύθεσθαι πάρα, quod quomodo acceperit, nos quidem nescimus.

v. 846. κλέψει' ἂν] Vulg. κλέψειαν. Stanl. conj. κλέψειεν. ὠμματωμένην] ὠμματουμένην Rob.

v. 848. ἐπευχομένη] ἐπερχομένη Rob. κἀπιθοάζουσ'] κἀπιθοάζουσα Ald. Rob.

v. 851. μιανθεῖσαι] μιανθῆναι Rob.

Πειραὶ κοπάνων ἀνδροδαΐκτων
Ἢ πάνυ θήσειν Ἀγαμεμνονίων
Οἴκων ὄλεθρον διὰ παντός,
Ἢ πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ
Δαίων, ἀρχαῖς τε πολισσονόμοις,
Ἕξει πατέρων μέγαν ὄλβον·
Τοιάνδε πάλην, μόνος ὢν ἔφεδρος
Δισσοῖς μέλλει θεῖος Ὀρέστης
Ἅψειν· εἴη δ' ἐπὶ νίκῃ.

ΑΙΓΙΣΘΟΣ ἔνδον.

Ἒ, ἔ, ὀτοτοτοῖ.

ΧΟΡΟΣ.

Ἔα, ἔα μάλα,
Πῶς ἔχει, πῶς κέκρανται δόμοις;
Ἀποσταθῶμεν πράγματος τελουμένου·
Ὅπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν
Εἶναι· μάχης γὰρ δὴ κεκύρωται τέλος.

VARIETAS LECTIONIS.

v. 856. δαίων ἀρχαῖς τε πολισσονόμοις] δαΐων ἀρχάς τε πολυσσονομοῦς Ald. δαΐων ἀρχάς τε πολισσονόμους Turneb. Cant.

v. 857. πατέρων] πάτρων Ald.

v. 858. τοιάνδε πάλην] τοίαν δὲ πάλιν Ald. μόνος ὢν ἔφεδρος] ὢν ἄρ' ἔφεδρος ſine μόνος Turn.

v. 859. θεῖος] θείοις Ald. Cant. θεῖος Turneb. Ita quoque emendandum cenſuerunt Cant. et Spanh. ad Julian. p. 262. item Stanl. ad h. l.

v. 860. νίκῃ] νίκην Ald. Turn.

v. 863. κέκρανται] κέκαρται Ald. Turn. κέκραρται Rob.

XO-

ΧΟΡΟΣ. ΟΙΚΕΤΗΣ.

ΟΙΚΕΤΗΣ.

Οἴμοι πανοίμοι δεσπότου τελουμένου·
Οἴμοι μάλ' αὖθις, ἐν τρίτοις προσφθέγμασιν.
Αἴγισθος οὐκ ἔτ' ἐστίν. Ἀλλ' ἀνοίξατε
Ὅπως τάχιστα, καὶ γυναικείας πύλας
Μοχλοῖς χαλᾶτε· καὶ μάλ' ἡβῶντος δὲ δεῖ,
Οὐχ ὡς δ' ἀρῆξαι διαπεπραγμένῳ· τί γάρ;
Ἰού, ἰού.
Κωφοῖς ἀϋτῶ, καὶ καθεύδουσιν μάτην
Ἄκραντα βάζω. Ποῖ Κλυταίμνηστρα; τί δρᾷ;
Ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας
Αὐχὴν πεσεῖσθαι πρὸς δίκην πεπληγμένης.

ΧΟΡΟΣ. ΟΙΚΕΤΗΣ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τί δ' ἐστὶ χρῆμα; τίνα βοὴν ἵστης δόμοις;

ΟΙΚΕΤΗΣ.

Τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω.

ΚΛΥ-

VARIETAS LECTIONIS.

v. 867. πανοίμοι] πάν, οἴμοι Ald. Rob. Turn. Cant.

v. 870. γυναικείας] γυναικίους Ald. γυναικείους Turn.

v. 872. διαπεπραγμένῳ] διαπεπραγμένων Ald. Rob.

v. 873. ἀϋτῶ] αὐτῷ Ald. αὐδῶ Rob.

v. 874. Κλυταίμνηστρα] Κλυταιμνήστρας Ald.

v. 875. ξυροῦ] ξυρὸν Ald.

v. 876. αὐχὴν] ἀρχὴν Ald. ἀρχὴ Turn. πεπληγμένης] πεπληγμένος Ald. Rob.

v. 878. λέγω] Sic Ald. vere. λόγῳ Turneb. Canter. etc.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οἴ 'γώ. Ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων.
Δόλοις ὀλούμεθ' ὥσπερ οὖν ἐκτείναμεν.
Δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
Εἰδῶμεν εἰ νικῶμεν ἢ νικώμεθα.
Ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.

ΧΟΡΟΣ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ. ΟΡΕΣΤΗΣ. ΠΥΛΑΔΗΣ.

ΟΡΕΣΤΗΣ.

Σὲ καὶ ματεύω· τῷδε δ' ἀρκούντως ἔχει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οἴ 'γώ. Τέθνηκας φίλτατ', Αἰγίσθου βία.

ΟΡΕΣΤΗΣ.

Φιλεῖς τὸν ἄνδρα; τοὶ γὰρ ἐν ταυτῷ τάφῳ
Κείσει. Θανόντα δ' οὔτι μὴ προδῷς ποτέ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἐπίσχες, ὦ παῖ, τόνδε δ' αἰδέσαι, τέκνον,
Μαστόν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα
Οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν;

ΠΥ.

VARIETAS LECTIONIS.

v. 881. ἀνδροκμῆτα] Ita recte Stanl. Vulg. ἀνδρόκμητα.

v. 882. εἰ νικῶμεν] ἢ νικῶμεν Ald. Rob.

v. 886. τάφῳ] τῷ τάφῳ Rob. invito metro.

v. 888. τόνδε δ' αἰδέσαι] τόνδε δήσεται Ald.

ΠΥΛΑΔΗΣ.

Ποῦ δῆτα λοιπὰ Λοξίου μαντεύματα
Τὰ πυθόχρηστα; πιστὰ δ' εὐορκώματα;
Ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.

ΟΡΕΣΤΗΣ.

Κρίνω σὲ νικᾷν, καὶ παραινεῖς μοι καλῶς. —
Ἕπου, πρὸς αὐτὸν τόνδε σὲ σφάξαι θέλω,
Καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός·
Τούτῳ θανοῦσα συγκάθευδ', ἐπεὶ φιλεῖς
Τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν, στυγεῖς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἐγώ σ' ἔθρεψα, ξὺν δὲ γηράναι θέλω.

ΟΡΕΣΤΗΣ.

Πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἡ μοῖρα τούτων, ὦ τέκνον, παραιτία.

ΟΡΕΣΤΗΣ.

Καὶ τόνδε τοίνυν μοῖρ' ἐπόρσυνεν μόρον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὐδὲν σεβίζει γενεθλίους ἀράς, τέκνον;

ΟΡΕΣΤΗΣ.

Τεκοῦσα γάρ μ' ἔῤῥιψας ἐς τὸ δυστυχές.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὔτοι σ' ἀπέῤῥιψ', εἰς δόμους δορυξένους...

ΟΡΕ.

VARIETAS LECTIONIS.

v. 892. δῆτα] Sic Turn. δὲ τὰ Ald. Rob. δαὶ τὰ Cant. δή τὰ Glasg.

v. 900. ξὺν] νῦν Ald. etc. Jam Stanlejus vidit praeferendum esse σὺν, ob ea, quae Orestes v. sq. respondet.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οἴ 'γώ. Ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων.
Δόλοις ὀλούμεθ' ὥσπερ οὖν ἐκτείναμεν.
Δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
Εἰδῶμεν εἰ νικῶμεν ἢ νικώμεθα.
Ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.

ΧΟΡΟΣ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ. ΟΡΕΣΤΗΣ. ΠΥΛΑΔΗΣ.

ΟΡΕΣΤΗΣ.

Σὲ καὶ ματεύω· τῷδε δ' ἀρκούντως ἔχει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οἴ 'γώ. Τέθνηκας φίλτατ', Αἰγίσθου βία.

ΟΡΕΣΤΗΣ.

Φιλεῖς τὸν ἄνδρα; τοὶ γὰρ ἐν ταυτῷ τάφῳ
Κείσει. Θανόντα δ' οὔτι μὴ προδῷς ποτέ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἐπίσχες, ὦ παῖ, τόνδε δ' αἰδέσαι, τέκνον,
Μαστόν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα
Οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν;

ΠΥ.

VARIETAS LECTIONIS.

v. 881. ἀνδροκμῆτα] Ita recte Stanl. Vulg. ἀνδρόκμητα.

v. 882. εἰ νικῶμεν] ἢ νικῶμεν Ald. Rob.

v. 886. τάφῳ] τῷ τάφῳ Rob. invito metro.

v. 888. τόνδε δ' αἰδέσαι] τόνδε δήσεται Ald.

ΠΥΛΑΔΗΣ.

Ποῦ δῆτα λοιπὰ Λοξίου μαντεύματα
Τὰ πυθόχρηστα; πιστὰ δ' εὐορκώματα;
Ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.

ΟΡΕΣΤΗΣ.

Κρίνω σὲ νικᾷν, καὶ παραινεῖς μοι καλῶς. —
Ἕπου, πρὸς αὐτὸν τόνδε σὲ σφάξαι θέλω,
Καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός·
Τούτῳ θανοῦσα συγκάθευδ', ἐπεὶ φιλεῖς
Τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν, στυγεῖς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἐγώ σ' ἔθρεψα, ξὺν δὲ γηράναι θέλω.

ΟΡΕΣΤΗΣ.

Πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἡ μοῖρα τούτων, ὦ τέκνον, παραιτία.

ΟΡΕΣΤΗΣ.

Καὶ τόνδε τοίνυν μοῖρ' ἐπόρσυνεν μόρον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὐδὲν σεβίζει γενεθλίους ἀράς, τέκνον;

ΟΡΕΣΤΗΣ.

Τεκοῦσα γάρ μ' ἔῤῥιψας ἐς τὸ δυστυχές.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὔτοι σ' ἀπέῤῥιψ', εἰς δόμους δορυξένους...

ΟΡΕ-

VARIETAS LECTIONIS.

v. 892. δῆτα] Sic Turn. δὲ τὰ Ald. Rob. δαὶ τὰ Cant. δή τὰ Glasg.

v. 900. ξὺν] νῦν Ald. etc. Jam Stanlejus vidit praeferendum esse σὺν, ob ea, quae Orestes v. sq. respondet.

ΟΡΕΣΤΗΣ.

Διχῶς ἐπράθην, ὢν ἐλευθέρου πατρός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ποῦ δῆθ' ὁ τιμὸς ὅντιν ἀντεδεξάμην;

ΟΡΕΣΤΗΣ.

Αἰσχύνομαί σοι τοῦτ' ὀνειδίσαι σαφῶς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Μή, 'λλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας.

ΟΡΕΣΤΗΣ.

Μὴ 'λεγχε τὸν πονοῦντ', ἔσω καθημένη.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον.

ΟΡΕΣΤΗΣ.

Τρέφει δὲ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα.

ΟΡΕΣΤΗΣ.

Σύ τοι σεαυτήν, οὐκ ἐγώ, κατακτενεῖς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ὅρα, φυλάξαι μητρὸς ἐγκότους κύνας.

ΟΡΕΣΤΗΣ.

Τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.

ΟΡΕ-

VARIETAS LECTIONIS.

v. 908. ὁ τιμὸς] ὅτιμος Ald. Rob. ἄτιμος Turn.

v. 909. σοι] σου Rob. Turn.

v. 910. μὴ 'λλ'] μὴ ἀλλ' Rob.

v. 916. φυλάξαι] φυλάξω Ald. Turn.

ΟΡΕΣΤΗΣ.

Πατρὸς γὰρ αἶσα τόνδ' ὁρίζει σοι μόρον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οἵ 'γὼ τεκοῦσα τόνδ' ἐθρεψάμην ὄφιν.
Ἦ κάρτα μάντις οὐξ ὀνειράτων φόβος.

ΟΡΕΣΤΗΣ.

Ἔκανες γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.

ΧΟΡΟΣ.

Στένωμεν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν.
Ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισε
Τλήμων Ὀρέστης, τοῦθ' ὅμως αἱρούμεθα,
Ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.

ΧΟΡΟΣ.

στροφή. Ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ,
Βαρύδικος ποινά.
Ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος
Διπλοῦς λέων, διπλοῦς Ἄρης.

E 2 Ἔλασε

VARIETAS LECTIONIS.

v. 919. τόνδ' ὁρίζει σοι μόρον] τὸν δὲ σ' ὁρίζει μόρον Ald. Turn. τόνδε σ' ὁρίζει μόνον Rob.

v. 920. οἵ 'γὼ τεκοῦσα τόνδ' ἐθρεψάμην ὄφιν] Pauwius metri cauſa vel τόνδ' ὄφιν γ' ἐθρεψάμην, vel τόνδ' ὄφιν ἐξεθρεψάμην ſcribendum putat. Jacobſius autem τ. ἐ. ὄφιν. Vulg. τ. ὄ. ἐθρ.

v. 922. ἔκανές γ' ὃν] κἂν ἐς γ' ὃν Ald. Turn. κάνες Rob.

v. 923. στένωμεν] στένω μὲν Ald. Rob. τῶνδε] τόνδε mendoſe Ald.

v. 928. βαρύδικος] καρύδικος Ald. Rob. καρίδικος Turn.

Ἔλασε δ' ἐς τὸ πᾶν
Ὁ πυθοχρήστας φυγάς,
Θέοθεν δὲ φραδαῖσιν ὡρμημένος.
Ἐπολολύξατω δεσποσύνων δόμων,
Ἀναφυγᾶς κακῶν, καὶ κτεάνων τριβᾶς
Ὑπαὶ δυοῖν μιαστόροιν
Δυσοίμου τύχας.
ἀντιστ. Ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας
Δολιόφρων ποινά.
Ἔθιγε δ' ἐν μάχᾳ χερὸς ἐτήτυμος
Διὸς κόρα· Δίκαν δέ νιν
Προσαγορεύομεν
Βροτοὶ τυχόντες καλῶς·

Ὀλέ-

VARIETAS LECTIONIS.

v. 931. ἔλασε δ' ἐς τὸ πᾶν] ἔλακε δ' ἐτὸ πᾶν Ald. ἔλακε δὲ τὸ πᾶν Turn. ἔλακε δ' ἐς Rob. Vict. etc. Illud metro, hoc ſenſui adverſatur. Pauwius conj. ἔλασε δ' ἐς τὸ πᾶν. Nobis autem verius eſſe videtur ἔλαχε δὴ τὸ πᾶν.

v. 934. θέοθεν δὲ φραδαῖσιν] θέοθεν ἐφραδαῖσιν Ald. θέοθεν ἀφραδαῖσιν Rob.

v. 935. ἀναφυγᾶς — τριβᾶς] Vulg. τριβάς — Stanl. conj. ἀναφυγᾶς — τριβᾶς.

v. 936. μιαστόροιν] μιαιστόροιν Ald. Turn.

v. 938. μέλει] Suſpicor legendum eſſe μέλεν pro ἔμελεν.

v. 940. ἔθιγε δ' ἐν μάχᾳ] ἔθιγε δὲ μάλα Ald. ἔθιγε δὲ μάχᾳ Rob. Pro μάχᾳ χερὸς Stanl. conj. μαχαίρας; Pauwius ἔθιγε δ' ἐν μάχᾳ, *tetigit manum Oreſtis*, ut ſcil. eam dirigeret.

v. 941. κόρα] κόρας Rob. Vulg. κούρα. Illa vero forma metro convenit. Pauw. invertendum cenſebat κούρα Διός.

Ὀλέθριον πνέουσ' ἐπ' ἐχθροῖς κότον.
Τᾶπερ ὁ Λοξίας μέγαν ἔχων μυχὸν
Χθονὸς ἐπ' ὀμφάλῳ πρὸς δολίαν δόλοις
Ἄξε βλαπτομέναν χρονι-
σθεῖσα γ' ἐποίχεται,
ἐπῳδός. Κρατεῖται πῶς τὸ θεῖον παρὰ τὸ μὴ
Ὑπουργεῖν κακοῖς.
Ἄξιον δ' οὐρανοῦχον ἀρχὰν σέβειν.
Πάρα τὸ φῶς ἰδεῖν· μέγας ἀφαιρεθεὶς
Ἅλιος οἴκων,
Ἀνάγεται δόμοις, πολὺν ἄγαν χρόνον
Χαμαιπετὴς ἔκειτ' ἀεί.
Τάχα παντελὴς ἀμείψεται

VARIETAS LECTIONIS.

v. 945. πνέουσ'] πνέουσαν Rob. ἐπ' ἐχθροῖς] ἐν ἐχθροῖς Ald. Rob. Turn.

v. 946. τᾶπερ] τάπερ Ald. Turn.

v. 948. χθονὸς ἐπ' ὀμφάλῳ] χθονὸς ἐπ' ὄχθει Ald. Rob. Turn.

v. 948. 949. πρὸς δολίαν δόλοις ἄξε] ἄξεν ἀδόλως δολίας Ald. Rob. Turn.

v. 949 sq. χρονισθεῖσα] ἐν χρόνοις θεῖσαν Ald. Rob. Turn.

v. 953. πάρα] Sic erat scribendum, non ut vulgo παρά.

v. 953-956. πάρα τὸ — ἔχει τ' ἀεί.] πάρα τε φῶς ἰδεῖν, μέγαν τ' ἀφηρέθην ψάλιον οὔκων, ἄναγε μὰν δόμοις πολλὺν ἄγαν χρόνον χαμαιπετεῖσε κεῖσθ' ἀεὶ, sic Aldin. multis locis corrupte. Similiter fere Rob., nisi quod legitur πλὴν ἄγαν et αἰεί. In Turn. legitur ita: πάρα τὸ φῶς ἰδεῖν μέγαν, τ' ἀφηρέθην ψάλιον οἴκων, ἀνὰ γεμὰν δόμοις πολὺν ἄγαν χρόνον χαμαιπετῆ σε κεῖσθ' ἀεί.

v. 957. τάχα παντελὴς ἀμείψεται] τάχα δὲ παντελὴς χρόνος ἀμείψεται Ald. Rob. Turn.

Πρόθυρα δωμάτων, ὅταν ἀφ' ἑστίας
Μῦσος πᾶν ἐλάσῃ καθαρμοῖς
Ἀτᾶν ἐλατηρίοις. Τύχαι
Δ' εὐπροσώπῳ κοίτᾳ
Τὸ πᾶν ἰδεῖν ἀκοῦσαι θρεομένοις
Δόμων μετοίκοις
Πεσοῦνται πάλιν. Πάρα τὸ φῶς ἰδεῖν.

ΟΡΕΣΤΗΣ. ΧΟΡΟΣ.

ΟΡΕΣΤΗΣ.

Ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα
Πατροκτόνους τε δωμάτων πορθήτορας.
Σεμνοὶ μὲν ἦσαν, ἐν θρόνοις τόθ' ἥμενοι,
Φίλοι τε καὶ νῦν, ὡς ἐπεικάσαι πάθη
Πάρεστιν, ὅρκος τ' ἐμμένει πιστώμασι.

Ξυνώ-

VARIETAS LECTIONIS.

v. 960. ἀτᾶν ἐλατηρίοις] In Edd. ἅπαν ἐλατήριον. Inde Stanl. emendandum censebat καθαρμὸς ἀτᾶν ἐλατήριος. Nobis vero lectio, quam in textu expressimus, propius ad veteris scripturae vestigia, quae supersunt in Codd. accedere videbatur. τύχαι] Ita rescripsimus pro vulg. τύχα. Nimirum τύχαι copulandum est cum πεσοῦνται πάλιν.

v. 962. θρεομένοις] forte θ' ἱεμένοις Stanl.

v. 963. δόμων μετοίκοις] μετ' οἰκοδόμων Ald. Turn. μετοικοδόμων Rob.

v. 964. πεσοῦνται] Stanl. conj. πεσεῖται, scil. ut ad τάχα referatur. Mollius autem concinniusque videtur, τύχαι — πεσοῦνται, ut edidimus. πάρα] Vulg. παρά, ut supra.

Ξυνώμοσαν μὲν θάνατον ἀθλίως πατρί,
Καὶ ξυνθανεῖσθαι· καὶ τάδ' εὐόρκως ἔχει.
Ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν,
Τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρί,
Πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
Ἐκτείνατ' αὐτόν, καὶ κύκλῳ παρασταδὸν
Στέγαστρον ἀνδρῶν δείξαθ', ὡς ἴδῃ πατὴρ
Οὐχ οὑμός, ἀλλ' ὁ πάντ' ἐποπτεύων τάδε
Ἥλιος, ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς.
Ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτέ,
Ὡς τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον
Τὸν μητρός· (Αἰγίσθου γὰρ οὐ λέγω μόρον·
Ἔχει γάρ, αἰσχυντῆρος, ὡς νόμος, δίκην·)
Ἥτις δ' ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος,
Ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος,
Φίλον τέως, νῦν δ' ἐχθρόν, ὡς φαίνει, κακόν.
Τί σοι δοκεῖ; μύραινά γ' ἤτ' ἔχιδν' ἔφυ,

VARIETAS LECTIONIS.

v. 970. ἀθλίως] Rectius puto ἀθλίῳ vel ἄθλιον. Nisi forte, quia statim ἀθλίῳ πατρὶ recurrit, hoc loco in ἀθλίῳ verbi cujusdam infinitivus latet, qui accusativum θάνατον regebat, hoc fere sensu: *conjurarunt se mortem patri illaturos, et una*, si opus esset, *morituros*.

v. 974. χειροῖν] χερσὶ Turn.

v. 976. ἴδῃ] Sic Robort. Vulg. ἴδοι.

v. 981. λέγω] ψέγω Ald. Rob.

v. 982. αἰσχυντῆρος, ὡς νόμος, δίκην] E Canteri emendatione, quam Glasg. recepit. Vulg. ἔχει γὰρ αἰσχυντῆρος ὡς νόμου δίκην.

v. 984. ἤνεγχ'] ἤνεχη Rob. ἤνεγκ' Turn.

v. 986. ἤτ' ἔχιδν' ἔφυ] Vulgo cum hiatu ἢ ἔχιδν'. At Rob. μύραινα τ' ἤτ' ἔχιδν' ἔφυ.

Σήποι θίγουσ' ἂν ἄλλον οὐ δεδηγμένον,
Τόλμης ἕκατι κἀδίκου φρονήματος.
Τί νιν προσείπω, κἂν τύχω μάλ' εὐστομῶν;
Ἄγρευμα θηρός, ἢ νεκροῦ ποδένδυτον
Δροίτης κατασκήνωμα, δίκτυον μὲν οὖν,
Ἄρκυν δ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.
Τοιοῦτο γ' ἂν κτήσαιτο φηλήτης ἀνὴρ
Ξένων ἀπαιόλημα, κἀργυροστερῆ
Βίον νομίζων· τῷδε τ' ἂν δολώματι
Πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρενί.
Τοιάδε μοι ξύνοικος ἐν δόμοισι μὴ
Γένοιτ'· ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις.

ΧΟΡΟΣ.

Αἴ, αἴ,
Μελέων ἔργων· στυγερῷ θανάτῳ
Διεπράχθης, ἒ, ἔ.
Δράσαντι δὲ καὶ πάθος ἀνθεῖ.

ΟΡΕΣΤΗΣ.

Ἔδρασεν ἢ οὐκ ἔδρασε· μαρτυρεῖ δέ μοι
Φᾶρος τόδ' ὡς ἔβαψεν Αἰγίσθου ξίφος.

Φόνου

VARIETAS LECTIONIS.

v. 987. σήποι θίγουσ' ἂν] σήπειν θίγουσαν Ald.

v. 988. κἀδίκου] κἀνδίκου vitiose Ald. Rob.

v. 989. κἂν] καὶ Glasg.

v. 992. ἄρκυν] ἄρην Rob. unde infeliciter Pauwius hariolatur — ἄρην δ' ἂν εἴποις καὶ παδιστῆρας ἐρέβους.

v. 993. τοιοῦτο γ' ἂν] τοιοῦτο μ' ἂν Ald. τοιοῦτο μὰν Rob. τοιοῦτον ἂν Turn.

v. 996. θερμαίνοι] θερμαίνει Ald. θ' ὁρμαίνοι conj. Heath.

v. 998. πρόσθεν] πρόσθ' Ald.

v. 1000. διεπράχθης] χεπράχθης Ald. mendose.

v. 1001. δράσαντι] Hoc reposui pro vulg. μίμνοντι.

Φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται
Πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
Νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρών,
Πατροκτόνον θ' ὕφασμα προςφωνῶν τόδε
Ἀλγῶ μὲν ἔργα καὶ πάθος, γένος τε πᾶν,
Ἄζηλα νίκης τῆςδ' ἔχων μιάσματα.

ΧΟΡΟΣ.

Οὔτις μερόπων ἀσινῆ βίοτον
Διὰ πάντ' ἄτιτος
Διαμείψεται, ὢ τέκνον· ἐς μόχθον
Δ' ὁ μὲν αὐτίχ', ὁ δ' ὕστερον ἥξει.

ΟΡΕΣΤΗΣ.

Ἄλλος τόδ' εἰδῆ, τοῦτ' ἄρ' οἶδ' ὅπη τελεῖ.
Ὥςπερ ξὺν ἵπποις ἡνιοστροφῶ δρόμου
Ἐξωτέρω· φέρουσι γὰρ νικώμενον
Φρένες δύςαρκτοι. Πρὸς δὲ καρδίᾳ κότος
Ἄιδειν ἕτοιμος, ἥδ' ὑπορχεῖσθαι φόβῳ.
Ἕως δ' ἔτ' ἔμφρων εἰμί, κηρύσσω φίλοις
Κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης,

E 5 Πα-

VARIETAS LECTIONIS.

v. 1006. αὐτὸν] αὐτὸν vulgo. Illud legendum esſe vidit Hermannus. παρών] παρὸν Rob.

v. 1011. ἄτιτος] ἄτιμος Ald.

v. 1012. διαμείψεται] ἀμείψεται Vulg. ὢ τέκνον inſeruimus, auctore Hermanno.

v. 1013. ὁ δ' ὕστερον ἥξει] ὅδ' εἴξαι Ald. ὅδ' ἥξει Turn. Reliqui ὁ δ' ἥξει. Omiſſum ὕστερον ipſi ſupplevimus.

v. 1014. ἄλλος τόδ' εἰδῆ] ἄλλος ἂν εἰδῇ Ald. ἄλλος γ' ἂν εἰδῇ Turn. Vulg. ἀ. τότ' ἐ.

v. 1015. ἡνιοστροφῶ] Sic edidimus pro vulg. ἡνιοστρόφου, quod ſenſu caret. Illud jam Stanl. placuerat.

v. 1017. 1018. κότος — φόβῳ] φόβος — κότῳ Ald. Rob. Turn. etc.

Πατροκτόνον μίασμα, καὶ θεῶν στύγος.
Καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι
Τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ' ἐμοί,
Πράξαντι μὲν ταῦτ' ἐκτὸς αἰτίας κακῆς
Εἶναι, παρέντι δ' οὐκ ἐρῶ τὴν ζημίαν·
Τόξῳ γὰρ οὔτις πημάτων προςίξεται.
Καὶ νῦν ὁρᾶτε μ' ὡς παρεσκευασμένος
Ξὺν τῷδε θαλλῷ καὶ στέφει προςίξομαι
Μεσόμφαλόν θ' ἵδρυμα, Λοξίου πέδον,
Πυρός τε φέγγος ἄφθιτον κεκλημένον.
Φεύγειν τόδ' αἷμα κοινόν, οὐδ' ἐφ' ἑστίαν
Ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
Τὰ δ' ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω
Ξυμμαρτυρεῖν μέλε' ὡς ἐπορσύνθη κακά.
Ἐγὼ δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
Ζῶν καὶ τεθνηκὼς τάςδε κλήδονας λιπών . . . :

ΧΟΡΟΣ.

Ἀλλ' εὖ γε πράξας, μηδ' ἐπιζευχθῇς στόμα
Φήμαις πονηραῖς, μηδ' ἐπιγλωσσῶ κακά,

Ἐλευ-

VARIETAS LECTIONIS.

v. 1025. παρέντι] παρόντα Ald. παρέντα Rob.

v. 1026. τόξῳ] τόξων Ald.

v. 1031. κοινὸν] Stanlej. conj. καινόν. ἐφ' ἑστίαν] ἐφέστιαν Ald. Rob.

v. 1034. ξυμμαρτυρεῖν] καὶ μαρτυρεῖν Ald. Rob. Turn. μέλε' ὡς] μοι μενέλεως Ald. μοι ὅσ' Rob. λεὼς Turn. etc. Sed hoc aperte vitiosum est, et sensu cassum.

v. 1037. 1038. ἀλλ' εὖγε — ἐπιγλωσσῶ κακά,] ἀλλ' εὖτε πράξας μὴ δ' ἐπιζεύχθῃ στόμα. Φῆμαι πονηραὶ μήδ' ἐπιγλώσσω κακά. Ald. Turn. ἀλλ' εὖτε πράξας μὴ δ' ἐπιζεύχθῃ στόμα Φῆμαι πονηραί, μὴ δ' ἐπιγλωσσῶ κακά Rob. Cant. Nos editorem Glasg.

imi-

Ἐλευθερώσας πᾶσαν Ἀργείην πόλιν,
Δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.

ΟΡΕΣΤΗΣ.

Ἆ, ἆ.
Δμωαὶ γυναῖκες, αἵδε Γοργόνων δίκην
Φαιοχχίτωνες, καὶ πεπλεκτανημέναι
Πυκνοῖς δράκουσιν· οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ.

ΧΟΡΟΣ.

Τίνες σε δόξαι, φίλτατ' ἀνθρώπων πάτρας
Στροβοῦσιν; ἴσχε, μὴ φοβοῦ νικῶ πολύ.

ΟΡΕΣΤΗΣ.

Οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί,
Σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.

ΧΟΡΟΣ.

Ποταίνιον γάρ αἷμά σοι χεροῖν ἔτι·
Ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πίτνει.

ΟΡΕΣΤΗΣ.

Ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δή,
Κἀξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλές.

ΧΟΡΟΣ.

Εἰσὶν καθαρμοί. Λοξίου δὲ προσθίγων
Ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.

ΟΡΕ-

VARIETAS LECTIONIS.

imitati ſumus, qui Heathio auctore verſiculos hos Choro tribuit, a ſuperioribus Oreſti aſſignatos.

v. 1042. φαιοχχίτωνες] φαιοχίτωνες Ald. Rob.

v. 1043. ἂν μείναιμ'] ἀμμείνοιμ' Ald. ἀμμείνοιμ' Rob.

v. 1045. νικῶ] νικῶν Ald. Rob. Turn.

v. 1046. οὐκ εἰσὶ] οὐκ, εἶα, Turn.

v. 1050. πληθύουσι] πληθύουσαι Ald. Rob.

v. 1052. εἰσὶν καθαρμοί] εἷς ὁ καθαρμὸς Ald. Rob. εἴσω καθαρμὸς Turn.

ΟΡΕΣΤΗΣ.

Ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ᾽, ἐγὼ δ᾽ ὁρῶ,
Ἐλαύνομαι δὲ, κοὐκ ἔτ᾽ ἂν μείναιμ᾽ ἐγώ.

ΧΟΡΟΣ.

Ἀλλ᾽ εὐτυχοίης, καί σ᾽ ἐποπτεύων πρόφρων
Θεὸς φυλάσσοι καιρίοις ἐν συμφοραῖς.

ΧΟΡΟΣ.

Ὅδε τοι μελάθροις τοῖς βασιλείοις
Τρίτος αὖ χειμὼν
Πνεύσας γονίας ἐτελέσθη.
Παιδόβοροι μὲν πρῶτον ὑπῆρξαν
Μόχθοι τάλανές τε Θυέστου.
Δεύτερον ἀνδρὸς βασίλεια πάθη·
Λουτροδάϊκτος δ᾽ ὤλετ᾽ Ἀχαιῶν
Πολέμαρχος ἀνήρ.
Νῦν δ᾽ αὖ τρίτος ἦλθέ ποθεν σωτήρ·
Ἢ μόρον εἴπω;
Ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει
Μέγα κοιμισθὲν μένος ἄτης;

VARIETAS LECTIONIS.

v. 1055. ἂν μείναιμ᾽] ἀμείβομ᾽ Ald. Turn.

v. 1057. φυλάσσοι] φυλάσσει Ald. καιρίοις ἐν συμφοραῖς] καιρίοισι συμφοραῖς Ald. Rob.

v. 1060. πνεύσας γονίας] πνεούσας γονίας Ald. Rob.

v. 1061. παιδόβοροι] e Valkenarii emendatione ad Eurip. Phoen. v. 1576. Vulg. παιδόμοροι.

v. 1062. τάλανές τε] Heathius mavult τάλανές γε.

v. 1069. μέγα κοιμισθὲν] e Valkenarii ad Eurip. Phoeniss. v. 1576. emendatione. Vulg. μετακοιμισθέν.

ΑΙΣΧΥ-

ΑΙΣΧΥΛΟΥ

ΤΡΑΓΩΔΙΑ

ΕΥΜΕΝΙΔΕΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΥΘΙΑΣ προφῆτις.
ΑΠΟΛΛΩΝ.
ΟΡΕΣΤΗΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑΣ εἴδωλον.
ΧΟΡΟΣ ΕΥΜΕΝΙΔΩΝ.
ΑΘΗΝΑ.
ἙΡΜΗΣ.

ΑΙΣΧΥΛΟΥ

ΕΥΜΕΝΙΔΕΣ.

ΠΥΘΙΑΣ.

Πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν
Τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,
Ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο
Μαντεῖον, ὡς λόγος τις. Ἐν δὲ τῷ τρίτῳ
Λάχει, θελούσης, οὐδὲ πρὸς βίαν τινός,
Τιτανίς, ἄλλη παῖς Χθονὸς, καθέζετο
Φοίβη, δίδωσι δ' ἣ γενέθλιον δόσιν
Φοίβῳ. Τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.
Λιπὼν δὲ λίμνην, Δηλίαν τε χοιράδα,
Κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος,
Ἐς τήνδε γαῖαν ἦλθε Παρνησσοῦ θ' ἕδρας.
Πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα
Κελευθοποιοὶ παῖδες Ἡφαίστου, χθόνα
Ἀνήμερον τιθέντες ἡμερωμένην.
Μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεὼς,

Δελ-

VARIETAS LECTIONIS.

v. 1. τῇδε] τῆτε Ald.

v. 6. καθέζετο] καθέζεται Rob.

v. 7. δίδωσι δ' ἣ] δίδωσιν ἣ Glasg.

v. 15. μολόντα — λεώς] μολόντα δ' αὐτὸν καὶ σεβίζουσιν μέγα Rob. oculis librarii ad ſuperiorem verſiculum aberrantibus.

Δελφός τε χώρας τῆσδε πρυμνήτης ἄναξ.
Τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα,
Ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις,
Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.
Τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεούς.
Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται.
Σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα
Κοίλη, φίλορνις, δαιμόνων ἀναστροφή.
Βρόμιος δ' ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
Ἐξ οὗ γε Βάκχαις ἐστρατήγησεν θεός,
Λαγὼ δίκην Πενθεῖ καταῤῥάψας μόρον·
Πλείστου τε πηγὰς καὶ Ποσειδῶνος κράτος
Καλοῦσα, καὶ τέλειον ὕψιστον Δία.
Ἔπειτα μάντις εἰς θρόνους καθιζάνω·
Καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῷ
Ἄριστα δοῖεν, κεἰ παρ' Ἑλλήνων τινές,
Ἴτων πάλῳ λαχόντες, ὡς νομίζεται.
Μαντεύομαι γὰρ, ὡς ἂν ἡγῆται θεός. —
Ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν
Πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου,

Ὡς

VARIETAS LECTIONIS.

v. 17. τέχνης] τέχνη conj. Pauw.

v. 18. θρόνοις] χρόνοις Rob. et citat Steph. c. MSS.

v. 24. βρόμιος δ' ἔχει] abest particula Rob.

v. 25. ἐξ οὗ γὲ] Sic Glasg. Vulg. ἐξ οὗτε.

v. 27. πλείστου] πλείστους Rob.

v. 30. μακρῷ] μακρῶν Ald. Turn.

v. 31. κεἰ παρ'] κεἴπερ Rob. κ' εἰ πάρ' (pro πάρεισι) conj. Abreſch.

v. 35. ἔπεμψεν] Falſo Pauwius ἔπεμψαν.

Ὡς μήτε σωκεῖν, μήτε μ' ἀκταίνειν βάσιν·
Τρέχω δὲ χερσὶν, οὐ ποδωκίᾳ σκελῶν·
Δείσασα γὰρ γραῦς οὐδὲν, ἀντίπαις μένος.
Ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχόν,
Ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ
Ἕδραν ἔχοντα, προστρόπαιον, αἵματι
Στάζοντα χεῖρας, καὶ νεοσπαδὲς ξίφος
Ἔχοντ', ἐλαίας θ' ὑψιγέννητον κλάδον,
Λήνει μεγίστῳ σωφρόνως ἐστεμμένον,
Ἀργῆτι μαλλῷ. Τῇδε γὰρ τρανῶς ἐρῶ.
Πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος
Εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος·
Οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω.

Οὐδ'

VARIETAS LECTIONIS.

v. 36. βάσιν] στάσιν Ald. Rob. Turn. Vict.

v. 38. μένος] Sic Hermannus, bene. Vulg. μὲν οὖν.

v. 40. θεομυσῆ] θεομισῆ Ald. θεομισεῖ Turn.

v. 41. ἔχοντα] ἔχοντι Ald. Rob.

v. 42. νεοσπαδὲς] νεοσπαθὲς citat Steph.

v. 44. λήνει] λίνει Rob. Pro λήνει μεγίστῳ Hemsterhusius conj. λήνει μὲν οἴος. Hermann. dedit μεγαλίστῳ.

v. 45. Ἀργῆτι μαλλῷ. Τῇδε γὰρ τρανῶς ἐρῶ] Hic versus scholiasten potius quam poetam sapit, Aeschylo certe indignus est. Et fortasse poeta scripserat ἀργῆτι μαλλῷ σωφρόνως ἐστεμμένον, ut λήνει μεγίστῳ e glossa fluxerit, et verba τῇδε γὰρ τρανῶς ἐρῶ addita sint ad versiculi complementum.

v. 46. 47. θαυμαστὸς λόχος εὕδει] θαυμαστὸν λέχος ᾄδει Ald.

Οὐδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις·
* * * * * * * *
Εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας
Δεῖπνον φέρουσας· ἄπτεροί γε μὴν ἰδεῖν
Αὗται, μέλαιναι δ', ἐς τὸ πᾶν βδελύκτροποι·
Ῥέγκουσι δ' οὐ πλαστοῖσι φυσιάμασιν,
Ἐκ δ' ὀμμάτων λείβουσι δυςφιλῆ βίαν·
Καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα
Φέρειν δίκαιος, οὔτ' ἐς ἀνθρώπων στέγας.
Τὸ φῦλον οὐκ ὄπωπα τῆςδ' ὁμιλίας·
Οὐδ' ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος
Τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνων.
Τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων
Αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ.
Ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος
Καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος.

VARIETAS LECTIONIS.

v. 49. Post h. v. unum aut aliquot versiculos intercidisse puto. Idem Wakefieldo visum.

v. 52. βδελύκτροποι] βδελύκτοποι Ald. κδελύκτροποι Rob.

v. 54. λείβουσι] λοίβουσι Rob. δυςφιλῆ βίαν] δυςφιλῆ δία Ald. ἐυςφιλῆ βίαν Rob. δυςφιλῆ γ' ἰὸν *odiosum virus* conj. Heath.

v. 58. οὐδ' ἥτις αἶα] Sic Rob. probantibus Pauwio, Abreschio et Hermanno. οὐδ' εἴτις γαῖα Ald. οὐ δῆτι γαῖα Turn. Vict.

v. 59. μεταστένειν] μετὰ στένειν Turn.

v. 63. δωμάτων] Wakefield conj. δειμάτων.

ΑΠΟΛ-

ΑΠΟΛΛΩΝ. ΟΡΕΣΤΗΣ. ΕΡΜΗΣ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑΣ εἴδωλον. ΧΟΡΟΣ Εὐμενίδων.

ΑΠΟΛΛΩΝ.

Οὔτοι προδώσω· διὰ τέλους δέ σοι φύλαξ
Ἐγγὺς παρεστὼς, καὶ πρόσω δ' ἀποστατῶν,
Ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων.
Καὶ νῦν ἁλούσας τάςδε τὰς μάργους ὁρᾷς
Ὕπνῳ· πέλουσι δ' αἱ κατάπτυστοι κόραι,
Νυκτὸς παλαιαὶ παῖδες, αἷς οὐ μίγνυται
Θεῶν τις, οὐδ' ἄνθρωπος, οὐδὲ θήρ ποτε·
Κακῶν δ' ἕκατι κἀγένοντ'· ἐπεὶ κακὸν
Σκότον νέμονται, Τάρταρόν θ' ὑπὸ χθονὸς,
Μισήματ' ἀνδρῶν καὶ θεῶν Ὀλυμπίων.
Ὅμως δὲ φεῦγε, μηδὲ μαλθακὸς γένῃ.
Ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς
Βεβῶτ' ἀνατεὶ τὴν πλανοστιβῆ χθόνα,
Ὑπέρ τε πόντον, καὶ περιῤῥύτας πόλεις.
Καὶ μὴ πρόκαμνε τόνδε βουκολούμενος

 Πόνον·

VARIETAS LECTIONIS.

v. 65. πρόσω δ'] πρόσωθ' conj. Wakefield.

v. 67. ἁλούσας] εἱλούσας Rob.

v. 68. πέλουσι] Sic emendavit Valckenaer in Callimacheis p. 147. πεποῦσαι Ald. vitiose. πεσοῦσαι Rob. Vict.

v. 69. Νυκτὸς παλαιαὶ] ex elegantissima Valckenaerii correctione. Γραῖαι παλαιαὶ Ald. etc.

v. 71. ἐπεὶ κακὸν] ἐπὶ κακὸν Ald. Turn.

v. 75. ἐλῶσι] ἐλῶσι Ald.

v. 76. βεβῶτ'] βεβῶντ' Ald. Rob. Turn. Vict. ἀνατεὶ] ἂν κιεὶ Ald. Rob.

v. 77. πόντον] πόντου Ald. Rob.

Πόνου· μολὼν δὲ Παλλάδος ποτὶ πτόλιν
Ἵζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας,
Κἀκεῖ, δικαστὰς τῶνδε καὶ θελκτηρίους
Μύθους ἔχοντες, μηχανὰς εὑρήσομεν,
Ὥστ' ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων.
Καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῷον δέμας.

ΟΡΕΣΤΗΣ.

Ἄναξ Ἄπολλον, οἶσθα μὲν τὸ μὴ 'δικεῖν·
Ἐπεὶ δ' ἐπίστα, καὶ τὸ μὴ 'μελεῖν μάθε.
Σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.

ΑΠΟΛΛΩΝ.

Μέμνησο, μὴ φόβος σε νικάτω φρένας.
Σὺ δ' αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρός,
Ἑρμῆ, φύλασσε· κάρτα δ' ὢν ἐπώνυμος,
Πομπαῖος ἴσθι, τόνδε ποιμαίνων ἐμὸν
Ἱκέτην. Σέβει τοι Ζεύς, τόδ' ἐκνέμων σέβας,
Ὁρμώμενον βροτοῖσιν εὐπόμπῳ τύχῃ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑΣ ΕΙΔΩΛΟΝ. ΧΟΡΟΣ ΕΥΜΕΝΙΔΩΝ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑΣ ΕΙΔΩΛΟΝ.

Εὕδοιτ' ἄν, ὠή, καὶ καθευδουσῶν τί δεῖ;
Ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη

Ἄλλοι-

VARIETAS LECTIONIS.

v. 86. ἐπίστα] Heathius communem formam ἐπίστη praefert. μὴ 'μελεῖν] μὴ μελεῖν Ald.

v. 92. ἐκνέμων] Sic emendavit Heathius vulg. ἐκ νόμων.

Ἄλλοισιν ἐν νεκροῖσιν, ὡς μὲν ἔκτανον,
Ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται,
Αἰσχρῶς δ' ἀλῶμαι, προὐννέπω δ' ὑμῖν ὅτι
Ἔχω μεγίστην αἰτίαν κείνων ὕπο·
Παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων,
Οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται,
Κατασφαγείσης πρὸς χερῶν μητροκτόνων.
Ὁρᾶτε πληγὰς τάσδε καρδίας ἔθεν.
Εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται,
Ἐν ἡμέρᾳ δὲ μοῖρ' ἀπρόσκοπος βροτῶν.
Ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε,
Χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα,
Καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς
Ἔθυον ὥραν οὐδενὸς κοινὴν θεῶν.
Καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα.
Ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην,
Καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυστάτων
Ὤρουσεν, ὑμῖν ἐγκατιλλώψας μέγα.
Ἀκούσαθ' ὧν ἔλεξα· τῆς δὲ μὴ πέρι

VARIETAS LECTIONIS.

v. 96. μὲν] Illud μὲν ante ἔκτανον pertinet ad sequens δὲ post παθοῦσα v. 100., ut nihil opus sit cum Heathio μιν reponere.

v. 103. ὁρᾶτε] Sic Hermannus, melius quam vulg. ὅρα δέ. καρδίας] Sic Ald. Vict. Glasg. Herm. καρδία Rob. ἔθεν Cantero videbatur scribendum esse, idque h. l. pro ἐμέθεν poni. Vulgo σέθεν.

v. 105. μοῖρ' ἀπρόσκοπος] μοῖρα πρόσκοπος Ald. μοῖρα πρόσκοπτος Rob.

v. 108. νυκτίσεμνα] νυκτὶ σεμνὰ Ald. Rob. Glasg.

v. 111. νεβροῦ] νεκροῦ Ald. Turn.

v. 112. ἀρκυστάτων] Alii notante Steph. ἀρκυσμάτων.

v. 114. ἀκούσαθ' ὧν ἔλεξα· τῆς δὲ μὴ πέρι] Sic Hermannus correxit vulg. ἀκούσατ', ὡς ἔλεξα τῆς ἐμῆς πέρι.

Ψυχῆς φρενῆσατ', ὦ κατὰ χθονὸς θεαί.
Ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ.

ΧΟΡΟΣ.
(μυγμός.)

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Μύζοιτ' ἄν, ὡνὴρ δ' οἴχεται φεύγων πρόσω.
Φίλοι γάρ εἰσιν οὐκ ἐμοὶ προςίκτορες.

ΧΟΡΟΣ.
(μυγμός.)

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἄγαν ὑπνώσσεις, κοὐ κατοικτίζεις πάθος·
Φονεὺς δ' Ὀρέστης τῆςδε μητρὸς οἴχεται.

ΧΟΡΟΣ.
(ὠγμός.)

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ὤζεις; ὑπνώσσεις; οὐκ ἀναστήσει τάχος;
Τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά;

ΧΟΡΟΣ.
(ὠγμός.)

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ὕπνος πόνος τε κύριοι ξυνωμόται
Δεινῆς δρακαίνης ἐξεκήραναν μένος.

ΧΟΡΟΣ.
(μυγμὸς διπλοῦς ὀξύς.)

Λάβε, λάβε, λάβε, λάβε, φράζου.

ΚΛΥ-

VARIETAS LECTIONIS.

v. 118. ὡνὴρ] Vulg. ἀνήρ. Glasg. ἀνὴρ. οὐκ ἐμοὶ] Sensus caussa sic rescripsimus. Vulg. φίλοις — οὐκ ἐμοῖς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ὄναρ διώκεις θῆρα, κλαγγαίνεις δ' ἅπερ
Κύων μέριμναν οὔποτ' ἐκλιπὼν πόνου.
Τί δρᾷς; ἀνίστω, μή σε νικάτω πόνος,
Μηδ' ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ' ὕπνῳ.
Ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσιν·
Τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίγνεται.
Τὸ δ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῷ·
Ἀτμὸν κατισχναίνουσα νηδύος πυρί,
Ἕπου, μάραινε δευτέροις διώγμασιν.

ΧΟΡΟΣ.

Ἔγειρ' ἔγειρε καὶ σὺ τήνδ', ἐγὼ δέ σέ.
Εὕδεις; ἀνίστω, κἀπολακτίσασ' ὕπνον,
Ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ.

ΧΟΡΟΣ.

στροφὴ α'. Ἰού, ἰοὺ, πόπαξ. Ἐπάθομεν, φίλαι,
(Ἦ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ·)
Ἐπάθομεν πάθος δυσαχθές, ὢ πόποι,
Ἄφερτον κακόν.
Ἐξ ἀρκύων πέπτωκεν, οἴχεται δ' ὁ θήρ.
Ὕπνῳ κρατηθεῖσ' ἄγραν ὤλεσα.

VARIETAS LECTIONIS.

v. 132. ἐπουρίσασα] ἐπουρήσασα Turn. Vulg. autem edebatur: οὐδ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῷ ſenſu prorſus perverſo. In Glasg. legitur σὺ δ' αἱματηρὸν π. ἐπουρίσασα τῷ.

v. 133. ἀτμὸν] Sic Hermannus emendavit. Vulg. ἀτμῷ.

v. 140. δυσαχθὲς] δυσαχὲς Rob.

ἀντιστρ. α'. Ἰὼ παῖ Διός, ἐπίκλοπος πέλει.
Νέος δὲ γραίας δαίμονας καθιππάσω,
Τὸν ἱκέταν σέβων ἄθεον ἄνδρα καὶ
Τοκεῦσιν πικρόν,
Τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεός.
Τί τῶνδ' ἐρεῖ τις δικαίως ἔχειν;
στροφὴ β'. Ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολὸν,
Ἔτυψεν, δίκαν διφρηλάτου,
Μεσολαβεῖ κέντρῳ.
Ὑπὸ φρένας, ὑπὸ λοβὸν
Πάρεστι μαστίκτορος
Δαΐου δαμίου
Βαρύ τι, περιβαρὺ κρύος ἔχειν.
ἀντιστρ. β'. Τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοί,
Κρατοῦντες τὸ πᾶν δίκας πλέον.
Φονολιβῆ θρόνον
Περὶ πόδα, περὶ κάρα,
Πάρεστι, γᾶς ὀμφαλὸν,
Προσδρακεῖν αἱμάτων
Βλοσυρὸν ἀράμενον ἄγος ἔχειν.
στροφὴ γ'. Ἐφεστίῳ δὲ, μάντις ὢν, μιάσματι
Μυχὸν ἐχράνατ' αὐ-
τόσσυτος, αὐτόκλητος,

Παρὰ

VARIETAS LECTIONIS.

v. 150. μολὸν] μολὼν Ald.

v. 156. βαρύ τι, περιβαρὺ] Vulg. βαρύ, τὸ περιβαρύ. In Rob. abest τό. Verum vidit Hermann.

v. 159. Φονολιβῆ] φονολειβῆ vulg.

v. 163. ἀράμενον] Ex Heathii correctione. αἱρούμιον Aldin. Reliqui αἱρούμενον. Cantero placebat ἐρόμενον. Pauwio ῥεόμενον.

v. 165. μυχὸν ἐχράνατ'] μυκὸν ἔχρανατ' Ald. Vulg. μυχὸν ἔχρανας τ'.

Παρὰ νόμον θεῶν βρότεα μὲν τίων,
Παλαιγενεῖς δὲ Μοίρας φθίσας,
ἀντιστρ. γ'. Κἀμοί γε λυπρός, καὶ τὸν οὐκ ἐκλύσεται,
Ὑπό τε γᾶν φύγων
Οὔ ποτ' ἐλευθεροῦται.
Ποτιτρόπαιος ὢν δ' ἕτερον ἐν κάρᾳ
Μιάστορ' ἔστιν οὗ πάσεται.

ΑΠΟΛΛΩΝ. ΧΟΡΟΣ.

ΑΠΟΛΛΩΝ.

Ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος
Χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν·
Μὴ καὶ λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν,
Χρυσηλάτου θώμιγγος ἐξορμώμενον
Ἀνῇς ὑπ' ἄλγους μέλαιν' ἀπ' ἀνθρώπων ἀφρόν,
Ἐμοῦσα θρόμβους, οὓς ἀφείλκυσας, φόνου.
Οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει·
Ἀλλ' οὗ καρανιστῆρες ὀφθαλμώρυχοι

VARIETAS LECTIONIS.

v. 167. παρὰ νόμον θεῶν βρότεα] Sic Rob. Glasg. παρανόμων θεῶν βρέτεα vulg.

v. 169. κἀμοί γε] Sic bene Casaubonus emendandum censuit. Vulg. κἄμαί τε.

v. 170. φυγὼν] Sic Glasg. Vulg. φεύγων.

v. 173. ἔστιν οὗ] Sic Hermann. Vulg. ἐκείνου. πάσεται] Sic Rob. Glasgow. Vulg. πάσσεται. Heathius conj. μίασμ' ἐκείνῳ 'πιπάσεται *piaculum aliud praeter istud in caput suum derivabit.*

v. 181. καρανιστῆρες] Ita rescribendum fuit auctore Stanlejo. Vulg. καρανηστῆρες. In Ald. corrupte οὐκ ἀρανητῆρες.

Δίκαι, σφαγαί τε, σπέρματός τ' ἀποφθορᾷ
Παίδων κακοῦται χλοῦνις, ἠδ' ἀκρωνία,
Λευσμός τε καὶ μύζουσιν οἰκτισμὸν πολὺν
Ὑπὸ ῥάχιν παγέντες. Ἆρ' ἀκούετε,
Οἵας ἑορτῆς ἔστ', ἀπόπτυστοι θεοῖς,
Στέργηθρ' ἔχουσαι; Πᾶς δ' ὑφηγεῖται τρόπος
Μορφῆς. Λέοντος ἄντρον αἱματοῤῥόφου
Οἰκεῖν τοιαύτας εἰκός, οὐ χρηστηρίοις
Ἐν τοῖσδε πλησίοισι τρίβεσθαι μύσος.
Χωρεῖτ' ἄνευ βοτῆρος αἰπολούμεναι.
Ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεῶν.

ΧΟΡΟΣ.

Ἄναξ, Ἄπολλον, ἀντάκουσον ἐν μέρει.
Αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέλει,
Ἀλλ' εἷς τὸ πᾶν ἔπραξας, ὡς παναίτιος.

ΑΠΟΛΛΩΝ.

Πῶς δή; τοσοῦτο μῆκος ἔκτεινον λόγου.

ΧΟΡΟΣ.

Ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν.

ΑΠΟΛ-

VARIETAS LECTIONIS.

v. 182. 183. ἀποφθορᾷ — κακοῦται] Sic Erfurdtius optime emendavit ad Soph. Trach. v. 145. Vulg. ἀποφθοραὶ — κακοῦ τε. In Rob. κακοῦται.

v. 184. λευσμός τε] Ita corrigendum fuit, pro vulg. λευσμόν τε, quod jam Pauwius viderat.

v. 185. ὑπὸ ῥάχιν] ὑποῤῥάχιν Turn.

v. 186 sq. ἐστ' ἀ. θ. στέργηθρ'] ἐπ' — στέργηθ' Ald.

v. 195. εἷς] Vulg. εἰς. Verum sensus postulat εἷς, idque Cantero, Pauwioque placuit.

v. 196. πῶς δή; τοσοῦτο] πῶς δῆτα τοῦτο Rob. λόγου] λόγου vulg.

ΑΠΟΛΛΩΝ.

Ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι. τί μήν;

ΧΟΡΟΣ.

Κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου.

ΑΠΟΛΛΩΝ.

Καὶ προστραπέσθαι τούσδ' ἐπέστελλον δόμους.

ΧΟΡΟΣ.

Καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς.

ΑΠΟΛΛΩΝ.

Οὐ γὰρ δόμοισι τοῖσδε πρόσφορον μολεῖν.

ΧΟΡΟΣ.

Ἀλλ' ἔστιν ἡμῖν τοῦτο προστεταγμένον.

ΑΠΟΛΛΩΝ.

Τίς ἥδε τιμή; κόμπασον γέρας καλόν.

ΧΟΡΟΣ.

Τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν.

ΑΠΟΛΛΩΝ.

Τί γάρ; γυναικός, ἥτις ἄνδρα νοσφίσῃ,
Οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος;

Ἡ

VARIETAS LECTIONIS.

v. 198. τί μήν;] τιμὴν Ald. Rob. Turn. etc. Sed illud ſenſus poſtulat; Heathio vero placebat τί μή; quod Glasg. recepit.

v. 199. δέκτωρ] δ' ἔκταρ Ald. vitioſe.

v. 206. τί γάρ;] τί γὰρ Ald.

v. 207. οὐκ] ἂν γένοιθ'] Falſo hic verſus in Rob. Turneb. Victor. tribuitur Choro.

Ἦ κάρτ' ἄτιμα, καὶ παρ' οὐδὲν ἤρκεσ' ἂν
Ἥρας τελείας καὶ Διὸς πιστώματα.
Κύπρις δ' ἄτιμος τῷδ' ἀπέῤῥιπται λόγῳ,
Ὅθεν βροτοῖσι γίγνεται τὰ φίλτατα.
Εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μόρσιμος,
Ὅρκου τε μεῖζον τῇ δίκῃ φρουρουμένη.
Εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς,
Τὸ μὴ πένεσθαι, μηδ' ἐποπτεύειν κότῳ,
Οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν.
Τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην,
Τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν.
Δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεά.

ΧΟΡΟΣ.

Τὸν ἄνδρ' ἐκεῖνον οὔ τι μὴ λίπω ποτέ.

ΑΠΟΛ-

VARIETAS LECTIONIS.

v. 208. ἦ κάρτ' ἄτιμα] Hi verſus in Aldin. usque ad 215. perperam Eumenidibus adſcribuntur. ἤρκεσ' ἂν] e certiſſima Heathii emendatione. Vulgo ἠρκέσω.

v. 212. μόρσιμος] Sic Rob. μόρσιμοι Ald.

v. 213. ὅρκου] ὅρκους Ald. ὅρκος Rob. ὅρκου 'στι Glasg. μεῖζον] Sic recte emendavit Heath. Vulg. μείζων. φρουρουμένη] φρουρουμένῃ Ald. Rob.

v. 214. εἰ] ἢ Ald. Turn. etc. Canterus recte ſuaſit lectionem a nobis receptam. χαλᾷς] χαλαῖς Ald.

v. 215. πένεσθαι] γενέσθαι Ald. Rob. Turn. Vict. etc. Sed πένεσθαι ſenſus poſtulat. Heathius minus bene conjecerat 'νέχεσθαι pro ἐνέχεσθαι.

v. 216. σ' ἐνδίκως] γ' ἐνδίκως Ald.

v. 219. δὲ Παλλὰς] δ' ἐπ' ἄλλας Ald. Turn. ἐποπτεύσει] ἐποπτεύσεις Turn.

v. 220. οὔ τι] οὔπω Ald. λίπω] Sic Glasg. Vulg. λείπω.

ΑΠΟΛΛΩΝ.

Σὺ δ' οὖν δίωκε, καὶ πόνον πλέω τίθου.

ΧΟΡΟΣ.

Τιμὰς σὺ μὴ ξύντεμνε τὰς ἐμὰς λόγῳ.

ΑΠΟΛΛΩΝ.

Οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν.

ΧΟΡΟΣ.

Μέγας γὰρ ἔμπας πὰρ Διὸς θρόνοις λέγει.
Ἐγὼ δ', (ἄγει γὰρ αἷμα μητρῷον δίκας,)
Μέτειμι τόνδε φῶτα κὴρ κυνηγέτις.

ΑΠΟΛΛΩΝ.

Ἐγὼ δ' ἀρήξω, τὸν ἱκέτην τε ῥύσομαι·
Δεινὴ γὰρ ἐν βροτοῖσι κἂν θεοῖς πέλει
Τοῦ προστροπαίου μῆνις, εἰ προδῶ σφ' ἑκών.

VARIETAS LECTIONIS.

v. 221. πόνον πλέω] Sic rescripsimus Hermanno auctore, vulg. πόνου πλέον.

v. 225. ἄγει] ἄγειν Ald.

v. 226. κὴρ κυνηγέτις] κἀκκυνηγέτης Ald. Rob. καὶ κυνηγέτις Vict. etc. καὶ κυνηγετῶ conj. Stanlej. Hermannus edidit κακὴ κυνηγέτις. Cur nunc nobis placeat κὴρ, diximus in Comment. ad h. l.

v. 228. θεοῖς] θεοῖσι Ald.

v. 229. εἰ προδῶ] ἢν προδῶ Glasg.

ΟΡΕ-

ΟΡΕΣΤΗΣ. ΧΟΡΟΣ ΕΥΜΕΝΙΔΩΝ.

ΟΡΕΣΤΗΣ.

Ἄνασσ' Ἀθάνα Λοξίου κελεύσμασιν
Ἥκω, δέχου δὲ πρευμενῶς ἀλάστορα,
Οὐ προστρόπαιον, οὐδ' ἀφοίβαντον χέρα,
Ἀλλ' ἀμβλὺν ἤδη, προστετριμμένον πάρος
Ἄλλοισιν οἴκοις καὶ πορεύμασιν βροτῶν.
Ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν,
Σώζων ἐφετμὰς Λοξίου χρηστηρίους,
Πρόσειμι δῶμα καὶ βρέτας τὸ σόν, θεά.
Αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης.

ΧΟΡΟΣ.

Εἶεν· τόδ' ἐστὶ τἀνδρὸς ἐκφανὲς τέκμαρ.
Ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς.
Τετραυματισμένον γὰρ ὡς κύων νεβρόν,
Πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν.
Πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ
Σπλάγχνον· χθονὸς γὰρ πᾶς πεποίμανται τόπος,
Ὑπέρ τε πόντον ἀπτέροις πωτήμασιν
Ἦλθον διώκουσ' οὐδὲν ὑστέρα νεώς.
Καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που κατεπτακώς,

Ὀσμὴ

VARIETAS LECTIONIS.

v. 230. Jam ſcena mutatur, Athenasque transfertur; ubi primum in templo Minervae Oreſtes conſpicitur, paullo poſt Furiis eum conſequentibus.

v. 233. πάρος] Sic Hermann. Vulg. τε πρός.

v. 239. ἐστὶ] ἔπι Ald.

v. 241. νεβρὸν] νεκρὸν Ald. Rob.

v. 244. πᾶς] πᾶν Rob.

v. 247. ἐστί που κατεπτακὼς] ἐπί που καταπτακῶν Ald.

Ὀσμὴ βροτείων αἱμάτων με προσγελᾷ.
Ὅρα, ὅρα μάλ' αὖ,
Λεύσσετον πάντα·
Μὴ λάθῃ φύγδα βὰς
Ὁ ματροφόνος ἀτίτας.
στροφή. Ὁδ' αὖτέ γ' οὐκ, ἀλκὰν ἔχων, περὶ βρέτει
Πλεχθεὶς θεᾶς ἀμβρότου,
Ὑπόδικος θέλει γενέσθαι χερῶν.
ἀντιστρ. Τὸ δ' οὐ πάρεστιν· αἷμα μητρῷον χαμαί·
Δυσαγκόμιστον, παπαῖ,
Τὸ διερὸν πέδῳ κεχυμένον οἴχεται.
Ἀλλ' ἀντιδοῦναι δεῖ σ', ἀπὸ ζῶντος ῥοφεῖν
Ἐρυθρὸν ἐκ μελέων πέλανον· ἀπὸ δὲ σοῦ,
Βοσκὰν φεροίμαν πόματος δυσπότου·
Καὶ ζῶντά σ' ἰσχνάνασ' ἀπάξομαι κάτω,

Ἀντί-

VARIETAS LECTIONIS.

Ald. ἐστί που κατεπτακὼς edd. rell. ἐστί που καταπτακὼν Glasg. Sed κατεπτακὼς (a καταπτημι) scribendum esse Pauwius Heathiusque putabant.

v. 248. ὀσμὴ] ἐς μὴ Ald.

v. 249. ὅρα ὅρα] ῥέα ὅρα Ald. Turn.

v. 250. λεύσσετον] λευσσε τὸν Turn.

v. 251. φύγδα] φυγάδα Ald. Turn.

v. 253. γ' οὐκ] γ' οὖν Ald. Rob. Turn.

v. 255. χερῶν] Sensus et metri causa Heathius corrigit χατέρων.

v. 258. τὸ διερὸν — οἴχεται] τὸ δ' ἱερὸν πέδῳ κεχυμίον οἴχεται Ald. τὸ δι' ἱερὸν πέδῳ κεχυμένον οἴχεται Rob. τὸ δ' ἱερὸν πέδῳ κεχυμένον οἴχεται Turn.

v. 262. ἰσχνάνασ'] Sic Ald. Rob. Turn. ἰσχνάσασ' Vict. κάτω] καὶ κάτω Rob.

Ἀντίποιν᾽ ὡς τίνης
Ματροφόνου δύας.
Ὄψει δέ, κεἴ τις ἄλλος ἤλιτεν βροτῶν,
Ἢ θεόν, ἢ ξένον
Τίν᾽ ἀσεβῶν, ἢ τοκῆας φίλους,
Ἔχονθ᾽ ἕκαστον τῆς δίκης ἐπάξια.
Μέγας γὰρ Ἅιδης ἐστὶν εὔθυνος βροτῶν,
Ἔνερθεν χθονός,
Δελτογράφῳ δὲ πάντ᾽ ἐπωπᾷ φρενί.

ΟΡΕΣΤΗΣ.

Ἐγώ, διδαχθεὶς ἐν κακοῖς, ἐπίσταμαι
Πολλοὺς καθαρμούς, καὶ λέγειν, ὅπου δίκη,
Σιγᾶν θ᾽ ὁμοίως· ἐν δὲ τῷδε πράγματι
Φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου·
Βρίζει γὰρ αἷμα καὶ μαραίνεται χερός,
Μητροκτόνον μίασμα δ᾽ ἔκπλυτον πέλει.
Ποταίνιον γὰρ ὂν πρὸς ἑστίᾳ θεοῦ
Φοίβου καθαρμοῖς ἠλάθη χοιροκτόνοις.
Πολὺς δέ μοι γένοιτ᾽ ἂν ἐξ ἀρχῆς λόγος,
Ὅσοις προσῆλθον ἀβλαβεῖ ξυνουσίᾳ.

Χρόνος

VARIETAS LECTIONIS.

v. 263. ἀντίποιν᾽ ὡς] Ita rescripsimus pro vulg. ἀντιποίνους. τίνης] τείνης Rob. τίνεις Turn. μητροφόνου] Sic ex emendatione Casauboni. In edd. est μητροφόνας.

v. 265. ἄλλος] Vulg. ἄλλον.

v. 267. τίν᾽] τί τ᾽ Ald. Turn.

v. 269. Ἅιδης] ἅδυς Ald.

v. 271. φρενὶ] σῇ φρενὶ Rob.

v. 275. φωνεῖν] φρωγεῖν corrupte Ald. φρονεῖν Turn.

v. 277. ἔκπλυτον] ἔκπλητον Ald.

v. 281. ὅσοις] ὅς τοις Ald. ὅστις Turn. Vict.

Χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.
Καὶ νῦν ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ
Χώρας ἄνασσαν τῆσδ' Ἀθηναίαν, ἐμοὶ
Μολεῖν ἀρωγόν· κτήσεται δ' ἄνευ δορὸς
Αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεὼν
Πιστὸν δικαίως, ἐς τὸ πᾶν τε σύμμαχον.
Ἀλλ' εἴτε χώρας ἐν τόποις Λιβυστικῆς
Τρίτωνος ἀμφὶ χεῦμα γενεθλίου πόρου
Τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα,
Φίλοις ἀρήγουσ', εἴτε Φλεγραίαν πλάκα,
Θρασὺς ταγοῦχος ὡς ἀνὴρ, ἐπισκοπεῖ,
Ἔλθοι, (κλύει δὲ καὶ πρόσωθεν ὢν θεός,
Ὅπως γένοιτο τῶνδ' ἐμοὶ λυτήριος.

ΧΟΡΟΣ.

Οὔτοι σ' Ἀπόλλων, οὐδ' Ἀθηναίας σθένος
Ῥύσαιτ' ἂν, ὥστε μὴ οὐ παρημελημένον
Ἔῤῥειν, τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν,
Ἀναίματον βόσκημα δαιμόνων, σκιάν.
Οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους,
Ἐμοὶ τραφείς τε καὶ καθιερωμένος.
Καὶ ζῶν με δαίσεις, οὐδὲ πρὸς βωμῷ σφαγείς,
Ὕμνον δ' ἀκούσει τόνδε δέσμιον σέθεν.

Ἄγε

VARIETAS LECTIONIS.

v. 282. καθαιρεῖ] Stanl. mavult καθαίρει.

v. 288. Λιβυστικῆς] e conj. Stanleji. Vulg. Λιβυστικοῖς.

v. 296. ὥστε] οὕς τε Ald.

v. 298. Vulg. βόσκημα, δαιμόνων σκιά.

v. 301. δαίσεις] δαΐσεις Ald.

v. 301. 302. perperam in edd. Apollini tribuuntur.

Ἄγε δὴ καὶ χορὸν ἅψωμεν, ἐπεὶ
Μοῦσαν στυγερὰν
Ἀποφαίνεσθαι δεδόκηκεν,
Λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους
Ὡς ἐπινωμᾷ στάσις ἁμά.
Εὐθυδίκαι θ' ἠδόμεθ' εἶναι.
Τὸν μὲν καθαρὰς χεῖρας προνέμοντ'
Οὔτις ἀφ' ἡμῶν μῆνις ἐφέρπει,
Ἀσινὴς δ' αἰῶνα διοιχνεῖ·
Ὅστις δ' ἀλιτῶν, ὥσπερ ὅδ' ἀνὴρ,
Χεῖρας φονίας ἐπικρύπτει,
Μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν
Παραγιγνόμεναι, πράκτορες αἵματος
Αὐτῷ τελέως ἐφάνημεν.
στρ. α'. Μᾶτερ, ἅ μ' ἔτικτες, ὦ μᾶτερ
Νύξ, ἀλαοῖσιν καὶ δεδορκόσιν

Ποινάν,

VARIETAS LECTIONIS.

v. 305. δεδόκηκεν] δεδόκημεν Ald. Rob.

v. 307. ὡς] Stanl. conj. ὧν. ἐπινωμᾷ] ἐπὶ νομᾷ Ald. ἁμά] e Canteri conjectura, vulgo ἅμα.

v. 308. εὐθυδίνα θ' οἱ δοιμεσθ' εἶναι. Sic Ald. οἰδοίμεθ' Rob. ἠδόμεσθ' Turn.

v. 309. τὸν — προνέμοντα] Ex Hermanni correctione. Vulg. τοὺς μὲν — προςνέμοντας. Heathius emend. τὸν μὲν καθαρὰς χεῖρας ἔχοντα γάρ. Jam Turnebus in quibusdam exemplaribus invenerat ἔχοντας, unde Bothius edendum putavit προὔχοντ'.

v. 312. ἀλιτῶν] e Stanl. emendatione. Vulg. ἀλιτρῶν.

v. 313. φονίας] Hic syllabae defectum expleturus Heathius inferciendum putat εἶτ', male quidem ad sensum.

v. 317. ἔτικτες] ἔτεκες Turn.

Ποινάν, κλῦθ᾽· ὁ Λατοῦς γάρ ἶ-
νις μ᾽ ἄτιμον τίθησιν,
Τόνδ᾽ ἀφαιρούμενος
Πτῶκα, ματρῷον ἅ-
γνισμα κύριον φόνου:
Ἐπὶ δὲ τῷ τεθυμένῳ
Τόδε μέλος, παρακοπά,
Παραφορὰ φρενοδαλής,
Ὕμνος ἐξ Ἐριννύων,
Δέσμιος φρενῶν, ἀφόρ-
μικτος, αὐονὰ βροτοῖς.
ἀντιστρ. α᾽. Τοῦτο γὰρ λάχος διανταία
Μοῖρ᾽ ἐπέκλωσεν ἐμπέδως ἔχειν
Θνατῶν τοῖσιν αὐτουργίαι.
Ξυμπέσωσιν μάταιοι,
Τοῖς ὁμαρτεῖν, ὄφρ᾽ ἂν
Γᾶν ὑπέλθῃ· θανὼν δ᾽
Οὐκ ἄγαν ἐλεύθερος.
Ἐπὶ δὲ τῷ τεθυμένῳ

VARIETAS LECTIONIS.

v. 319. ποινὰν] Sic Ald. Rob. recte. ποινᾶν Turn. Vict. etc. κλῦθ᾽, ὁ Λατοῦς] κλῦθι. Λατοῦς Turn.

v. 322. πτῶκα] πτάκα Ald. ματρῷον] ματρώϊον Ald. Turn. Vict.

v. 326. φρενοδαλὶς] φρενοδαλὴς Ald. Rob.

v. 329. αὐονὰ βροτοῖς] Sic Ald. Rob. Vulg. αὔων βροτούς. cf. v. 342.

v. 331. ἐμπέδως] ἐκπέδως Ald.

v. 332. θνατῶν] Bene sic Hermannus. Vulg. θανάτων. αὐτουργίαι] αὐτουργίαις Ald. Rob. Vict.

v. 333. ξυμπέσωσιν] ξύμπας ὦσιν mendose Ald. Nec melius Rob. ξυμπάρωσεν.

Τόδε μέλος, παρακοπά,
Παραφορὰ φρενοδαλίς,
Ὕμνος ἐξ Ἐριννύων,
Δέσμιος φρενῶν, ἀφόρ-
μικτος, αὐονὰ βροτοῖς.

στρ. β'. Γιγνομέναισι λάχη τάδ' ἐφ' ἁμὶν ἐκράνθη·
Ἀθανάτων ἀπέχειν χέρας, οὐδέ τις ἐστὶ
Ξυνδαίτωρ μετάκοινος.
Τῶν δὲ παλλεύκων πέπλων
Αἰὲν ἄμοιρος ἄκληρος ἐτύχθην.
Δωμάτων γὰρ εἱλόμαν
Ἀνατροπάς, ὅταν Ἄρης,
Τιθασὸς ὤν, φίλον ἕλῃ·
Ἐπιτόνως διόμεναι
Κρατερόποδα γ' ὅμως
Μάρπτομεν νέον αἷμα.

Σπευ-

VARIETAS LECTIONIS.

v. 339. φρενοδαλὶς] φρενοδαλὴς Ald.

v. 342. αὐονὰ βροτοῖς] Recepimus lectionem Aldin. Rob. Turn., utpote graviorem Aeschylique ſtilo digniorem, quam ea, quae poſtea editiones invaſit, αὔων βροτούς.

v. 345. ξυνδαίτωρ] συνδάτωρ Ald. Rob.

v. 346. τῶν δὲ παλλεύκων πέπλων] Sic Hermannus. Vulg. παλλεύκων δὲ πέπλων.

v. 347. αἰὲν] quod abeſt in edd. ſupplevit Hermann.

v. 350. τιθασὸς] Sic Turn. πιθασος Ald. Vict. τίθασσος Rob. Heath. inepte reponi jubet πιθανος. Idem διόμενα et μαυροίμαν pro διόμεναι — μαυροῦμεν emendandum cenſet. Verum nihil opus. ὢν] ὂν conj. Stanl. φίλον] φίλος Ald.

v. 351. ἐπιτόνως] Sic Turneb. ἐπὶ τὸν ὦ Ald. etc.

v. 352. Vulg. κρατερὸν ὄνθ' ὁμοίως μαυροῦμεν νέον αἷμα. Emendationis noſtrae cauſas expoſuimus in Comment. ad h. l.

ἀντιστρ. β'. Σπευδόμεναι δ' ἀφελεῖν Δία τάςδε μερίμνας,
Τῶν δ' ἀτέλειαν ἐμαῖσι λαχαῖς ἐπικραίνειν,
Μηδ' ἐς ἄγκρισιν ἐλθεῖν.
Ζεὺς γὰρ αἱματοσταγὲς
Ἀξιόμισον ἔθνος τόδε λέσχας
Ἃς ἀπηξιώσατο.
Μάλα γὰρ οὖν ἁλομένα
Ἀνέκαθεν βαρυπεσῆ
Καταφέρω ποδὸς ἀκμάν,
Σφαλερὰ τανυδρόμοις
Κῶλα, δύςφορον ἄταν.

στρ. γ'. Δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι σεμναί,
Τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι
Ἡμετέραις ἐφόδοις μελανείμοσιν ὀρχη-
σμοῖς τ' ἐπιφθόνοις ποδός.

ἀντιστρ. γ'. Πίπτων δ' οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμᾳ·
Τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται,

VARIETAS LECTIONIS.

v. 354. σπευδόμεναι] σπεύδομαι Turn. Vict. τάςδε] τᾶςδε Rob.

v. 354. 355. Vulg. σπευδόμεναι δ' ἀφελεῖν τινα τάςδε μερίμνας· θεῶν δ' ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν.

v. 356. ἐς ἄγκρισιν] ἐπ' ἄκροισιν Ald. Turn. ἐς ἔγκρισιν Rob.

v. 358. λέσχας] λέσχος corrupte Rob.

v. 359. ἃς] ἂς Ald.

v. 360. μάλα γὰρ οὖν] μάλα γὰρ ἀλωμένα Rob.

v. 360-364. vulgo post v. 368. ὀρχησμοῖς — ποδός positos recte huc reduxit Herm.

v. 361. ἀνέκαθεν] ἄγκαθεν Ald. Rob.

v. 368. ἐπιφθόνοις] ἐπιφόνοις Ald. Turn. Vict. φόνοις Rob.

v. 369. πίπτων] πίπτον Ald. οἶδεν] Sic Ald. Vulg. οἶδε. λύμᾳ] λῦμα Ald. Turn.

v. 370. μύσος] μῖσος Ald.

Καὶ δνοφερὰν τὴν ἀχλὺν κατὰ δώματος αὐδᾶ-
ται πολύστονος φάτις.

στρ. δ'. Μένει γὰρ εὐμήχανοί
Τε καὶ τέλειοι, κακῶν
Τε μνήμονες, σεμναὶ
Καὶ δυσπαρήγοροι βροτοῖς,
Ἄτιμ' ἀτίετα διόμεναι
Λάχη, θεῶν διχοστατοῦντ'
Ἀνηλίῳ λάμπᾳ,
Δυσοδοπαίπαλα
Δερκομένοισι καὶ δυσομμάτοις ὁμῶς.

ἀντιστρ. δ'. Τίς οὖν τάδ' οὐχ ἅζεταί
Τε καὶ δέδοικεν βροτῶν,
Ἐμοῦ κλύων θεσμὸν
Τὸν μοιρόκραντον, ἐκ θεῶν
Δοθέντα τέλεον; ἐπὶ δέ μοι
Γέρας παλαιόν ἐστιν, οὐδ'
Ἀτιμίας κυρῶ,
Καίπερ ὑπὸ χθόνα
Τάξιν ἔχουσα καὶ δυσήλιον κνέφας.

VARIETAS LECTIONIS.

v. 371. κατὰ δώματος] κατὰ δύματος Rob.

v. 373. μένει γὰρ] Male Heathius: μόναι γάρ.

v. 377. ἀτίετα] ἀτίεται Ald. Rob. Vict.

v. 380. λάμπᾳ] λάμπαι Ald. λάμψαι Turn. Vict.

v. 386. ἐπὶ] ἐστὶ Turn.

v. 387. ἐστιν] Hoc metri caussa inculcavit Hermann. In edd. abest.

v. 390. τάξιν] Male hanc lectionem sollicitat Heath.; conjiciens leg. λαξιν dor. pro ληξιν *portionem, sedes assignatas.*

ΑΘΗΝΗ. ΧΟΡΟΣ. ΟΡΕΣΤΗΣ.

ΑΘΗΝΗ.

Πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν,
Ἀπὸ Σκαμάνδρου γῆν καταφθατουμένη,
Ἥν δῆτ' Ἀχαιῶν ἄκτορές τε καὶ πρόμοι,
Τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα,
Ἔνειμαν αὐτόπρεμνον εἰς τὸ πᾶν ἐμοί,
Ἐξαίρετον δώρημα Θησέως τόκοις·
Ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα,
Πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος,
Πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον.
Καινὴν δ' ὁρῶσα τήνδ' ὁμιλίαν χθονὸς,
Ταρβῶ μὲν οὐδὲν, θαῦμα δ' ὄμμασιν πάρα.
Τίνες ποτ' ἐστέ; πᾶσι δ' ἐς κοινὸν λέγω·
Βρέτας τε τοὐμὸν τῷδ' ἐφημένῳ ξένῳ,
Ὑμᾶς θ' ὁμοίας οὐδενὶ σπαρτῶν γένει,
Οὔτ' ἐν θεαῖσι πρὸς θεῶν ὁρωμένας,

VARIETAS LECTIONIS.

v. 392. γῆν καταφθατουμένη] optime ſic emendavit Stanl. Edd. τὴν καταφθατουμένην. Pauwius mavult γῆν καταφθατουμένην, vel γῆν κατὰ φθατουμένην. In ſchedis Caſaubonianis notatum erat, alicubi legi τήνδ' ἑκὰς φθατουμένην.

v. 398. ῥοιβδοῦσα] ῥοιδοῦσα Ald.

v. 399. τόνδ' ἐπιζεύξασ' ὄχον] Ineptiſſime Pauwius hariolatur οὐκ ἐπιζεύξασ' ὄχον.

v. 400. καινὴν] e Canteri emendatione. Edd. καὶ νῦν conſenſu.

v. 405. ὁρωμένας] ὁρωμέναις Edd. Stanlejus autem recte accuſativum reponi juſſit. Pauwius malebat: Ὑμῖν

Οὔτ' οὖν βροτείοις ἐμφερεῖς μορφώμασιν.
Λέγειν δ' ἄμορφον ὄντα τοὺς πέλας κακῶς
Πρόσω δικαίων, ἠδ' ἀποστατεῖ θέμις.

ΧΟΡΟΣ.

Πεύσει τὰ πάντα συντόμως, Διὸς κόρη.
Ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆς τέκνα,
Ἀραὶ δ' ἐν οἴκοις γῆς ὕπαι κεκλήμεθα.

ΑΘΗΝΗ.

Γένος μὲν οἶδα, κληδόνας τ' ἐπωνύμους.

ΧΟΡΟΣ.

Τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσει τάχα.

ΑΘΗΝΗ.

Μάθοιμ' ἂν, εἰ λέγοι τις ἐμφανῆ λόγον.

ΧΟΡΟΣ.

VARIETAS LECTIONIS.

Ὑμῖν δ' ὁμοίαις — ὁρωμέναις — ἐμφέρεσι. Heathius: ὑμεῖς δ' ὅμοιαί γ' οὐδενί — οὐ μὲν θεαῖσι — ὁρωμέναις, οὔτ' οὖν β. ἐμφερεῖς μορφώμασι.

v. 407. λέγειν δ'] Abeſt δὲ Ald. Turn. ἄμορφον] ἄμομφον Rob. τοὺς πέλας] Heathius legendum cenſet τὸν πέλας.

v. 408. ἠδ'] ἦδ' Turn.

v. 410. αἰανῆς] Sic Turn. Reliquae edd. αἰανῆ, niſi quod in Aldin. mendoſe αἰεινῆ.

v. 411. Ἀραὶ] ἀρὰ Turn. Vict. ὕπαι κεκλήμεθα] ὑπαικεκλήμεθα Ald. ὑπεκεκλήμεθα Rob. ὕλαι κεκλήμεθα Turn.

v. 412. κληδόνας] κλυδόνας Ald.

v. 413. τὰς] Laborare metrum quia putabat Arnaldus, reponendum cenſebat τάςδ'. Abreſchius tamen praeferebat τάς τ'. Neutrum admittendum.

v. 414. ἐμφανῆ] ἐκφανῆ Turn.

ΧΟΡΟΣ.

Βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν.

ΑΘΗΝΗ.

Καὶ τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;

ΧΟΡΟΣ.

Ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται.

ΑΘΗΝΗ.

Ἦ καὶ τοιαύτας τῷδ' ἐπιῤῥοιζεῖς φυγάς;

ΧΟΡΟΣ.

Φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.

ΑΘΗΝΗ.

Ἄλλης ἀνάγκης οὔ τινος τρέων κότον;

ΧΟΡΟΣ.

Ποῦ γὰρ τοσοῦτο κέντρον ὡς μητροκτονεῖν;

ΑΘΗΝΗ.

Δυοῖν παρόντοιν, ἥμισυς λόγος πάρα.

ΧΟΡΟΣ.

Ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, οὐ δοῦναι θέλοι.

VARIETAS LECTIONIS.

v. 416. ποῦ τὸ — φυγῆς] τοῦτο τέρμα τῆς σφαγῆς Edd. Nos veriſſimam Stanleji et Arnaldi emendationem ſecuti ſumus; quorum ille φυγῆς, hic ποῦ τὸ reſcribendum eſſe vidit.

v. 418. ἐπιῤῥοιζεῖς] Sic e conjectura Stanleji reſcripſimus. Vulg. ἐπιῤῥοιζεῖ.

v. 422. λόγος] λόγου Ald. Turn.

v. 423. οὐ δοῦναι θέλοι] Hermannus reſcripſit εἰ δοῦναι θέλοις.

ΑΘΗΝΗ.

Κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις.

ΧΟΡΟΣ.

Πῶς δή; δίδαξον· τῶν σοφῶν γὰρ οὐ πένει.

ΑΘΗΝΗ.

Ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω.

ΧΟΡΟΣ.

Ἀλλ' ἐξέλεγχε, κρῖνε δ' εὐθεῖαν δίκην.

ΑΘΗΝΗ.

Ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος;

ΧΟΡΟΣ.

Πῶς δ' οὔ; σέβουσαι γ' ἀξίαν σ' ἐπαξίων.

ΑΘΗΝΗ.

Τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις;
Λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς
Τὰς σὰς ἔπειτα τόνδ' ἀμυνάθου ψόγον·
Εἴπερ πεποιθὼς τῇ δίκῃ βρέτας τόδε
Ἧσαι φυλάσσων ἑστίας ἁμῆς πέλας,

Σεμνὸς

VARIETAS LECTIONIS.

v. 424. δικαίως] δικαίους Ald. δίκαι' ὡς conj. Abreschius.

v. 428. κἀπ'] κ' ἐπ' Turn. τρέποιτ'] τρέποι τ' Ald. Rob.

v. 429. ἀξίαν σ' ἐπαξίων] Sic emendavi vulgat. ἀξίαν τ' ἐπαξίων, in quo consentiunt Edd., nisi quod Turn. habet ἐπ' ἀξίων. ἀπ' ἀξίων placuit Stanl. Pauw. conj. σέβουσαι σ' ἀξίων γ' ἐπαξίων. Heathius σέβουσαί γ', ἀξίαι τ' ἐπαξίων, hoc sensu: *Te quidem cum veneremur, et dignae simus, quibus condigna retribuantur.* Verum haec aliena sunt a Chori sententia. Hermann. edidit: ἀξίαν τ' ἐπαξίων.

Σεμνὸς προςίκτωρ ἐν τρόποις Ἰξίονος.
Τούτοις ἀμείβου πᾶσιν εὐμαθές τι μοί.

ΟΡΕΣΤΗΣ.

Ἄνασσ' Ἀθάνα, πρῶτον ἐκ τῶν ὑστάτων
Τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα.
Οὐκ εἰμὶ προςτρόπαιος, οὐδ' ἔχει μύσος
Πρὸς χειρὶ τῇ 'μῇ τὸ σὸν ἐφημένη βρέτας.
Τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα.
Ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος,
Ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου
Σφαγαὶ καθαιμάξωσι νεοθηλοῦς βοτοῦ.
Πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα
Οἴκοισι, καὶ βοτοῖσι, καὶ ῥυτοῖς πόροις.
Ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω.
Γένος δὲ τοὐμὸν ὡς ἔχει, πεύσει τάχα.
Ἀργεῖός εἰμι, πατέρα δ' ἱστορεῖς καλῶς,
Ἀγαμέμνον', ἀνδρῶν ναυβατῶν ἁρμόστορα·
Ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
Ἔθηκας. Οὗτος ἔφθιτ' οὐ καλῶς, μολὼν
Ἐς οἶκον· ἀλλά νιν κελαινόφρων ἐμὴ

Μήτηρ

VARIETAS LECTIONIS.

v. 439. προςτρόπαιος] προ-τρόπαιος Rob.

v. 440. τὸ σὸν] τόσον Ald. ἐφημένη] ἐφεζομένη Robort. ἐφεζομένη Turn. ἐφεζομένου Herm.

v. 443. ἔστ' ἂν] ἐπ' ὂν Ald.

v. 444. καθαιμάξωσι] καθαιμάξουσι Ald. καθαιμάζουσι Rob. νεοθηλοῦς] Sic scribendum esse, bene monuit Abresch. νοθήλου Ald. ὀθήλου Robort. νεοθήλου cett. edd.

v. 447. ταύτην] ταύτη Rob.

v. 450. ναυβατῶν] ναυατῶν Ald.

v. 452. οὗτος ἔφθιτ'] ἔφθιθ' οὕτως Ald. Rob.

Μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασιν
Κρύψασα, λουτρῶν δ' ἐξεμαρτύρει φόνον.
Κἀγὼ κατελθών, τὸν πρὸ τοῦ φεύγων χρόνον,
Ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι,
Ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρός.
Καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος,
Ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ,
Εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπαιτίους.
Σὺ δ', εἰ δικαίως, εἴ τε μή, κρῖνον δίκην·
Πράξας γὰρ ἐν σοὶ πανταχῇ τάδ' αἰνέσω.

ΑΘΗΝΗ.

Τὸ πρᾶγμα μεῖζον, εἴ τις οἴεται τόδε
Βροτὸς δικάζειν· οὐδὲ μὴν ἐμοὶ θέμις
Φόνου διαιρεῖν ὀξυμηνίτους δίκας·
Ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς ὅμως

Ἱκέ-

VARIETAS LECTIONIS.

v. 455. κρύψασα,] abest comma Turneb. λουτρῶν] Steph. alicubi legi testatur λουτρών, idque praefert Stanl. Nos vulgatam tuemur, sed ita ut copulandi particulam δὲ ante ἐξεμαρτύρει abesse posse negemus, quae in edd. omittitur.

v. 462. σὺ δ'] Sic recte emendavit Casaub. In edd. est σύ τ'. κρῖνον] κρίνων Ald.

v. 463. πανταχῇ] Nihil opus est Abreschii conjectura πάντ' ἅ γ' ἂν ᾖ. Melius, si quid mutandum sit, Heathii commentum: πράξας γὰρ ἐν σοὶ πάντα καὶ τάδ' αἰνέσω.

v. 464. εἴ τις οἴεται] Stanl. conj. ἤ τις οἴηται.

v. 466. Φόνου] Sic Rob. Ceterae edd. φόνους. ὀξυμηνίτους] ὀξυμηνίτου Robort. Turn.

v. 467. ὅμως] Pauwius vel ἐμοί, vel ἐμοῖς reponendum cen-

Ἱκέτης προςῆλθες καθαρὸς ἀβλαβὴς δόμοις.
Ὅμως δ' ἄμομφον ὄντα σ' αἱροῦμαι πόλει.
Αὗται δ' ἔχουσαι μοῖραν οὐκ εὐπέμπελον,
Καὶ μὴ τυχοῦσαι πράγματος νικηφόρου
Χωροῖεν αὖθις· ἰὸς ἐκ φρονημάτων
Πέδῳ πεσὼν ἄφερτος αἰανὴς νόσος.
Τοιαῦτα μὲν τάδ' ἐστίν· ἀμφότερα, μένειν,
Πέμπειν τε, δυςπήμαντ' ἀμηχάνως ἐμοί.
Ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε,
Φόνων δικαστὰς ὁρκίους αἱρουμένη
Θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον.

Ὑμεῖς

VARIETAS LECTIONIS.

censuit. Heathius ita scribendum existimat: ἄλλως τέ κ' εἰ σὺ μὲν κατηρτυκὼς ὅπως etc.

v. 469. ὅμως δ'] Stanlejus conj. ὁμῶς τ'.

v. 470. ἔχουσαι] ἔχουσ' Rob.

v. 471. πράγματος νικηφόρου] Male Pauwius πράγματος, νικήφορου

v. 472. χωροῖεν αὖθις] χῶραιμε τ'αὖθις] Sic Rob. corrupte.

v. 475. δυςπήμαντ'] δυςσήματ' Ald. Turn. δυςπήματ' Rob. Vict. etc. Jacobus conjecerat πέπτειν δὲ δύςπεπτ', quod Stanl. in versione expressit, in notis autem δυςπήμαντ' vel δυςπήματα tenendum censuit. Scaliger δυςπήμαντ', Casaubonus autem δυςποίμαντ' reponendum arbitratus est. Pauwius incidit in δίσσα πήματα, Abreschius in δυςπετήματ' ἀμήχαν' ὥςτε μοι; vel δυςσεβήματ'. Heathius minime omnium audiendus, qui sic locum tentat: ἀμφότερ' εἰ μένεις, πέμπειν δὲ καὶ δύςτηνον ἀμήχανον ἐμοί, hoc sensu: *ita haec in utramque partem se habent, si manes, amandare vero te etiam infelicem plane nequeo.*

v. 477. ὁρκίους αἱρουμένη] Ita Casaub. emendavit. ὁρκίων αἱρουμένους vulg.

Ὑμεῖς δὲ μαρτύριά τε καὶ τεκμήρια
Καλεῖσθ' ἀρωγὰ τῆς δίκης ὁρκώματα.
Κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα
Ἥξω, διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως,
Ὅρκον περῶντας μηδὲν' ἔκδικον φρεσίν.

ΧΟΡΟΣ. ΟΡΕΣΤΗΣ.

ΧΟΡΟΣ.

στρ. α. Νῦν καταστροφαὶ νέων
Θεσμίων, εἰ κρατή-
σει δίκα τε καὶ βλάβα
Τοῦδε μητροκτόνου.
Πάντας ἤδη τόδ' ἔργον εὐχερεί-
ᾳ συναρμόσει βροτούς.
Πολλὰ δ' ἔτυμα παιδότρωτα

Πάθεα

VARIETAS LECTIONIS.

v. 480. ὁρκώματα] ὀρθώματα conj. Pauw. Si quid mutandum sit, malim ἐρείσματα.

v. 482. ἥξω] Pauwius corrigendum putat ἥσω.

v. 483. μηδέν' ἔκδικον] Sic Turn. Vulg. μηδὲν ἔκδικον. Φρεσὶν] Casaub. et Stanl. conj. Φράσαι. Heathius: ὅρκον περῶντας μηδέ τι 'κδικον φρονεῖν. Fortasse verius: ὅρκον περῶντας μηδέν' ἐκδίκοις φρεσίν.

v. 486. δίκα τε] τε quod abest in edd. metri causa Heathio auctore inseruimus.

v. 488. εὐχερείᾳ] Rob. εὐχερίᾳ.

v. 490. ἔτυμα] Stanlejus emend. ἄτιμα. Casaubonus ἑτοῖμα.

Πάθεα προσμένει τοκεῦ-
σιν τὸ μεταῦθις ἐν χρόνῳ.
ἀντιστρ. α΄. Οὔτε γὰρ βροτοσκόπων
Μαινάδων τῶνδ᾽ ἐφέρ-
ψει κότος τις ἐργμάτων·
Πάντ᾽ ἐφήσω μόρον.
Πεύσεται δ᾽ ἄλλος ἄλλοθεν, προφω-
νῶν τὰ τῶν πέλας κακὰ,
Λῆξιν ὑπόδυσίν τε μόχθων
Ἀκεά τ᾽ οὐ βέβαια· τλά-
μων δὲ μάταν παρηγορεῖ.
στρ. β΄. Μηδέ τις κικλησκέτω
Ξυμφορᾷ τετυμμένος,
Τοῦτ᾽ ἔπος θροούμενος,
Ὦ δίκα
Ὦ θρόνοι τ᾽ Ἐριννύων.
Ταῦτά τις τάχ᾽ ἂν πατὴρ
Ἢ τεκοῦσα νεοπαθὴς

Οἶκτον

VARIETAS LECTIONIS.

v. 492. τὸ μεταῦθις] Ita correxi vulg. μέτα τ᾽ αὖθις. Abſurde Pauwius μέτα, pro μέτεστι. Caſaub. τῷ μεταῦθις.

v. 493. οὔτε] οὔ τι Caſaub.

v. 494. ἐφέρψει] Caſaub. ἀφέρξει.

v. 497 ſq. προφωνῶν] προφωνεῖν malebat Caſaub.

v. 499. λῆξιν ὑπόδυσίν τε] λῆξις ὑπόδοσίς τε Turn. Caſaub. emend. λῆψιν ἀπόδοσίν τε. Heath. ut edidi. Vulg. λῆξιν ὑπόδοσίν τε.

v. 500. ἀκεά τ᾽ οὐ] Vulg. οὐκέτ᾽ οὐ. In Rob. ἄκετ᾽ οὐ. In quo mihi videbar verae lectionis ἄκεα τ᾽ οὐ veſtigia reperire. τλάμων δὲ μάταν] τλάμων δέ τις μάταν Ald. Rob. Turn.

Οἶκτον οἰκτίσαιτ'· ἐπει-
δὴ πιτνεῖ δόμος δίκας.
ἀντιστρ. β'. Ἔσθ' ὅπου τὸ δεινὸν εὖ
Καὶ φρενῶν ἐπίσκοπον
Δειμανεῖ καθήμενον.
Ξυμφέρει
Σωφρονεῖν ὑπὸ στένει.
Τίς δὲ μηδέν' ἐν δέει
Καρδίαν ἀνατρέφων
Ἢ πόλις βροτός θ' ὁμοί-
ως ἔτ' ἂν σέβοι δίκαν;
στρ. γ'. Μήτ' ἄναρκτον οὖν βίον
Μήτε δεσποτούμενον
Αἰνέσῃς
Παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν, ἄλλα δ'
Ἀλλ' ἐφορεύει.

Ξύμ-

VARIETAS LECTIONIS.

v. 509. οἰκτίσαιτ'] οἰκτίσετ' Rob.

v. 513. δειμανεῖ] Sic Hermannus. Vulg. δειμαίνει.

v. 513. 514. omissi in Rob.

v. 516. μηδέν' ἐν δέει] Sic rescripsi pro vulg. μηδὲν ἐν φάει.

v. 517. καρδίαν] Sic Ald. Rob. Turn. Recentiores καρδίας.

v. 518. ἢ πόλις] Heathius δή πόλις, male.

v. 519. δίκαν] δίκας Ald. Rob.

v. 520. μήτ' ἄναρκτον οὖν βίον] Particulam οὖν, quae in edd. abest, Heathio auctore inseruimus, qua sensus pariter ac metrum versiculi ad antitheticum relati sublevatur.

v. 523 sq. μέσῳ τὸ] μὲν ὅτῳ Turn. ἄλλα δ' ἀλλ' ἐφορεύει] ἄλλα ἄλλα διεφορεύει Ald. ἄλλα ἄλλα δ' ἐφορεύει Rob. ἄλλα ἄλλα διεφορεύει Turn. ἄλλα ἄλλα δ' ἐφορεύει Vict.

Ξύμμετρον δ' ἔπος λέγω,
Δυσσεβίας μὲν ὕβρις τέκος ὡς ἐτύμως·
Ἐκ δ' ὑγιείας
Φρενῶν ὁ πᾶσιν φίλος
Καὶ πολύευκτος ὄλβος.
ἀντιστρ. γ'. Ἐς τὸ πᾶν δέ τοι λέγω,
Βωμὸν αἰδέσαι δίκας·
Μηδέ νιν
Κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς. Ποι-
νὰ γὰρ ἐπέσται·
Κύριον μένει τέλος.
Πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων,
Καὶ ξενοτίμους
Ἐπιστροφὰς δωμάτων
Αἰδόμενός τις ἔστω.
στρ. δ'. Ἐκ τῶνδ' ἀνάγκας ἄτερ
Δίκαιος ὢν οὐκ ἄνολβος ἔσται·
Πανώλεθρός γ' οὔ ποτ' ἂν γένοιτο.
Τὸν ἀντίτολμον δὲ φαμὶ παρβάταν

Τὸν

VARIETAS LECTIONIS.

v. 530. τοι] σοι Rob.

v. 531. αἰδέσαι] αἰδεῖσθαι Turn.

v. 538. ἐπιστροφὰς δωμάτων] Metri caussa sedes verborum permutavit Heath. Vulg. δωμάτων ἐπιστροφάς. δώματ' ἀνεπιστροφὰς Ald.

v. 542. πανώλεθρός γ'] Abest particula γε in editis. Pauwius conjecit πανώλεθρος δ'. Sed limitandi vis h. l. aptior.

v. 543. παρβάταν] παραιβάδαν Ald. Vict. Turn. Cant. παραιβάδαν Rob. παρβάταν metri caussa rescripsit Hermannus.

Τὸν πόλλα παντόφυρτ' ἄγοντ' ἄνευ δίκης,
Βιαίως ξὺν χρόνῳ καθήσειν,
Λαῖφος ὅταν λάβῃ πόνος
Θραυομένας κεραίας.
ἀντιςρ. δ'. Καλεῖ δ' ἀκούοντας οὐ-
δέν, ἐν μέσᾳ δυςπαλεῖ τε δίνᾳ·
Γελᾷ δ' ὁ δαίμων ἐπ' ἀνδρὶ θερμῷ,
Τὸν οὐκέτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις
Δύαις, λεπαίαν οὐδ' ὑπερθέοντ' ἄκραν·
Δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον
Ἕρματι προςβαλὼν δίκας
Ὤλετ' ἄκλαυστος, αἶστος.

VARIETAS LECTIONIS.

v. 544. τὸν πόλλα] Vulg. τὰ πόλλα. παντόφυρτ' ἄγοντ'] παντόφυρτον Aldin. Turneb. παντόφυρτ' ceterae editiones. Stanl. conj. παντοφύροντ'. Sed recte Pauwius vidit post παντόφυρτ' deesse ἄγοντ' vel simile quid.

v. 545. βιαίως] βιαίῳ Ald.

v. 549. ἐν μέσᾳ δυςπαλεῖ τε δίνᾳ] Vulgo μέσᾳ δυςπαλεῖται δίνᾳ, nisi quod Turn. habet δυςπαλεῖ τε δίνᾳ, quod hactenus servavimus, ut simul ἐν absorptum ab extrema syllaba vocabuli οὐδὲν Heathio auctore restitueremus.

v. 550. γελᾷ δ' ὁ δαίμων] γελᾷ δὲ δαίμων Ald. θερμῷ] Ex vera Pauwii emendatione ob metrum necessaria. θερμουργῷ Ald. Vict. Cant. θερμοεργῷ Rob. Turn.

v. 551. οὐκέτ'] Heathio auctore recepimus. Vulg. οὔποτ' edebatur.

v. 552. λεπαίαν οὐδ' ὑπερθέοντ' ἄκραν] Ita correxi vulg. λέπαδνον οὐδ' ὑπερθέοντ' ἄκραν. οὐδ'] οὐδὲ Turn.

v. 555. αἶστος] Vulg. ἄϊστος. Contractam formam praeivit Hermannus.

ΧΟ-

ΧΟΡΟΣ. ΑΘΗΝΗ. ΟΡΕΣΤΗΣ. ΑΠΟΛΛΩΝ. ΚΗΡΥΞ. ΔΙΚΑΣΤΑΙ.

ΑΘΗΝΗ.

Κήρυσσε, κῆρυξ, καὶ στρατὸν κατεργάθου.
Ἥ τ' ὀρθία δὲ διάτορος Τυρσηνικὴ
Σάλπιγξ, βροτείου πνεύματος πληρουμένη,
Ὑπέρτονον γήρυμα φαινέτω στρατῷ.
Πληρουμένου γὰρ τοῦδε βουλευτηρίου
Σιγᾶν ἀρήγει, καὶ μαθεῖν θεσμοὺς ἐμοὺς
Πόλιν τε πᾶσαν εἰς τὸν αἰανῆ χρόνον,
Καὶ τόνδ', ὅπως ἂν εὖ καταγνωσθῇ δίκη.

ΧΟΡΟΣ.

Ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτός, κράτει.
Τί τοῦδέ σοι μέτεστι πράγματος, λέγε.

ΑΠΟΛΛΩΝ.

Καὶ μαρτυρήσων ἦλθον· (ἔστι γὰρ θρόνων
Ἱκέτης ὅδ' ὠνὴρ καὶ δόμων ἐφέστιος

VARIETAS LECTIONIS.

v. 557. ἥ τ' ὀρθία δὲ διάτορος] Vulg. ἥ τ' οὖν διάτορος; nisi quod Rob. habet εἴτ' οὖν. Lacunam sic expleverat Jacobus: Ἥ τ' αὐάτων διάτορος Τυρσηνική, Askewius contra in specimine editionis ἥ τ' οὖν διάκτορος οὐρανοῦ Τυρσηνική. Nos Hermanni rationem praetulimus.

v. 558. πληρουμένου] πληρούμενον Ald.

v. 561. ἀρήγει] Heathius mavult ἀνώγει.

v. 563. καὶ τόνδ'] καὶ τὸν Ald.

v. 566. θρόνων] Optime sic emendavit Hermannus vulg. δόμων.

v. 567. ὠνὴρ] Vulg. ἀνήρ.

Ἐμῶν· φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος·)
Καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
Τῆς τοῦδε μητρὸς τοῦ φόνου. Σὺ δ' εἴςαγε
Ὅπως ἐπίστα, τήνδε κυρώσων δίκην.

ΑΘΗΝΗ.

Ὑμῶν ὁ μῦθος, εἰςάγω δὲ τὴν δίκην.
Ὁ γὰρ διώκων, πρότερος ἐξ ἀρχῆς λέγων,
Γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.

ΧΟΡΟΣ.

Πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως·
Ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθείς.
Τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας.

ΟΡΕΣΤΗΣ.

Ἔκτεινα· τούτου δ' οὔτις ἄρνησις πέλει.

ΧΟΡΟΣ.

Ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων.

ΟΡΕΣΤΗΣ.

Οὐ κειμένῳ πω τόνδε κομπάζεις λόγον.

ΧΟΡΟΣ.

Εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες.

ΟΡΕ-

VARIETAS LECTIONIS.

v. 568. 569. neque post καθάρσιος, neque post αὐτός interpungitur; abest etiam δὲ post αἰτίαν Turn.

v. 570. τοῦ φόνου] τοῦδε φόνου Ald. Rob.

v. 571. κυρώσων] κύρωσον Rob.

v. 575. δὲ συντόμως] μὲν συντόμως Ald.

v. 577. κατέκτονας] κατέκτεινας Rob.

v. 579. παλαισμάτων] παλαιμάτων Rob.

ΟΡΕΣΤΗΣ.

Λέξω. Ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμών.

ΧΟΡΟΣ.

Πρὸς τοῦ δ' ἐπείσθης; καὶ τίνος βουλεύμασιν;

ΟΡΕΣΤΗΣ.

Τοῖς τοῦδε θεσφάτοισι· μαρτυρεῖ δέ μοι.

ΧΟΡΟΣ.

Ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν;

ΟΡΕΣΤΗΣ.

Καὶ δεῦρό γ' ἀεὶ τὴν τύχην οὐ μέμφομαι.

ΧΟΡΟΣ.

Ἀλλ' εἴ σε μάρψει ψῆφος, ἄλλ' ἐρεῖς τάχα.

ΟΡΕΣΤΗΣ.

Πέποιθ', ἀρωγὰς δ' ἐκ τάφου πέμψει πατήρ.

ΧΟΡΟΣ.

Νεκροῖσι νῦν πέποιθε μητέρα κτανών.

ΟΡΕΣΤΗΣ.

Δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτων.

VARIETAS LECTIONIS.

v. 582. λέξω] λέγω Rob. χειρὶ πρὸς δέρην τεμών] χειρὶ πρὸς, δουρὴν τεμὼν ſic Ald. δέρην] δείρην Turn.

v. 583. πρὸς τοῦ δ'] Recte diviſim ſcribendum cenſuit Pauw. Edd. τοῦδ'.

v. 586. ἀεὶ] Sic Aldin. Vulg. αἰεί.

v. 588. πέμψει] e Scaligeri emend. et ſic Schol. quoque legiſſe videtur. Vulg. πέμπει.

v. 589. πέποιθε] πέπεισθι Ald. κτανὼν] κτανῶν Ald.

ΧΟΡΟΣ.

Πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε.

ΟΡΕΣΤΗΣ.

Ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανεν.

ΧΟΡΟΣ.

Τοὶ γὰρ σὺ μὲν ζῇς, ἡ δ' ἐλευθέρα φόνῳ.

ΟΡΕΣΤΗΣ.

Τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῇ;

ΧΟΡΟΣ.

Οὐκ ἦν ὅμαιμος φωτός, ὃν κατέκτανεν.

ΟΡΕΣΤΗΣ.

Ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;

ΧΟΡΟΣ.

Οὐ γάρ σ' ἔθρεψεν ἐντός, ὦ μιαιφόνε,
Ζώνης; ἀπεύχει μητρὸς αἷμα φίλτατον;

ΟΡΕΣΤΗΣ.

Ἤδη σὺ μαρτύρησον. Ἐξηγοῦ δέ μοι,
Ἄπολλον, εἴ σφε σὺν δίκῃ κατέκτανον.

Δρᾶ-

VARIETAS LECTIONIS.

v. 592. κατέκτανεν] Steph. ingeniose conjicit legendum esse κἀμὲ κτάνεν. Quod certe melius est, quam quod Canterus proposuit, ἐμέ τε κατέκτανεν.

v. 593. φόνῳ] Sic jam olim censui legendum, et nuper probavit Hermannus. Vulg. φόνου.

v. 597. οὐ γάρ σ'] πῶς γάρ τ' Aldin. Turneb. Vict. Cant. πῶς γ' εἰ Rob., etsi in textu operarum errore ad calcem libri correcto expressum est πῶς γάρ σ'. Equidem correxi οὐ γάρ σε, idque probavit Hermannus.

Δρᾶσαι γάρ, ὥσπερ ἐστίν, οὐκ ἀρνούμεθα·
Ἀλλ' εἰ δικαίως εἴτε μὴ τῇ σῇ φρενὶ
Δοκεῖ τόδ' αἷμα, κρῖνον, ὡς τούτοις φράσω.

ΑΠΟΛΛΩΝ.

Λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας μέγαν
Θεσμὸν δικαίως, μάντις ὢν δ' οὐ ψεύσομαι.
Οὐ πώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις
Οὐκ ἀνδρός, οὐ γυναικός, οὐ πόλεως πέρι,
Ὃ μὴ κελεύσῃ Ζεὺς Ὀλυμπίων πατήρ.
Τὸ μὲν δίκαιον τοῦθ', ὅσον σθένει, μαθεῖν,
Βουλῇ πιφαύσκω δ' ὔμμ' ἐπίσπεσθαι πατρός,
Ὅρκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον.

ΧΟΡΟΣ.

Ζεύς, ὡς λέγεις σύ, τόνδε χρησμὸν ὤπασε,
Φράζειν Ὀρέστῃ τῷδε, τὸν πατρὸς φόνον
Πράξαντα μητρὸς μηδαμοῦ τιμὰς νέμειν;

ΑΠΟΛΛΩΝ.

Οὐ γάρ τι ταυτόν, ἄνδρα γενναῖον θανεῖν,
Διοσδότοις σκήπτροισι τιμαλφούμενον,
Καὶ ταῦτα πρὸς γυναικός, οὔ τι θουρίοις

VARIETAS LECTIONIS.

v. 605. δικαίως] δικαίας Ald. μάντις ὢν δ'] Sic recte Canterus edi jussit. Vulgo μάντις δ' ὢν adversante metro.

v. 608. κελεύσῃ] Vulg. κελεύσει. Stanlejo placuit κέλευσε vel κελεύει.

v. 610. βουλῇ] βούλη Ald. βούλῃ Rob. ἐπισπέσθαι] ἐπισπάσθαι Rob.

v. 615. θανεῖν] Male Stanl. praefert κτανεῖν.

v. 616. σκήπτροισι] σκήπτοισι Rob.

Τόξοις ἑκηβόλοισιν, ὥστ' Ἀμαζόνος·
Ἀλλ' ὡς ἀκούσει Παλλάς, οἵ τ' ἐφήμενοι
Ψήφῳ διαιρεῖν τοῦδε πράγματος πέρι.
Ἀπὸ στρατείας γάρ μιν, ἠμποληκότα
Τὰ πλεῖστ' ἄμεινον εὔφροσιν, δεδεγμένη
Δρύτη, πόρεν θ' οἱ λουτρά, κἀπὶ τέρματι
Φᾶρος παρεσκήνησεν, ἐν δ' ἀτέρμονι
Κόπτει πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ.
Ἀνδρὸς μὲν ὑμῖν οὗτος εἴρηται μόρος
Τοῦ παντοσέμνου, τοῦ στρατηλάτου νεῶν.
Ταύτην τοιαύτην εἶπον, ὡς δηχθῇ λεώς,
Ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην.

ΧΟΡΟΣ.

Πατρὸς προτιμᾷ Ζεὺς μόρον τῷ σῷ λόγῳ.
Αὐτὸς δ' ἔδησε πατέρα πρεσβύτην Κρόνον.
Πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις;
Ὑμᾶς δ' ἀκούειν ταῦτ' ἐγὼ μαρτύρομαι.

ΑΠΟΛ-

VARIETAS LECTIONIS.

v. 618. ὥστ'] Pauw. ὡς γ'.

v. 619. ἀκούσει] Indicativum postulat verborum consecutio. Vulg. ἀκούσῃ.

v. 620. πέρι] Pauwius emend. πέρας.

v. 621. στρατείας] στρατιᾶς Rob.

v. 622. ἄμεινον] Sic Ald. Vulg. ἀμείνον'.

v. 623. δρύτη] δροίτη Ald. δροίτῃ Turn. πόρεν θ' οἱ λουτρά] Sic nunc edidi pro vulg. περῶντι λουτρά, quod est incommodum.

v. 624. παρεσκήνησεν] παρεσκήνωσεν Ald. Rob.

v. 626. οὗτος] οὕτως in Vict. perperam receptum, ipso Stephano se in notis corrigente.

v. 628. δηχθῇ] δειχθῇ Rob.

v. 633. ταῦτ'] τοῦτ' Turn.

ΑΠΟΛΛΩΝ.

Ω παντομισῆ κνώδαλα, στύγη θεῶν,
Πέδαις μὲν οὖν δήσει' ἄν· ἔστι τοῦδ' ἄκος,
Καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος.
'Ανδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις,
Ἅπαξ θανόντος οὔτις ἐστ' ἀνάστασις.
Τούτων ἐπῳδὰς οὐκ ἐποίησεν πατὴρ
Οὑμός, τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω
Στρέφων τίθησιν, οὐδὲν ἀσθμαίνων μένει.

ΧΟΡΟΣ.

Πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς ὅρα·
Τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδῳ
Ἔπειτ' ἐν Ἄργει δώματ' οἰκήσει πατρός;
Ποίοισι βωμοῖς χρώμενος τοῖς δημίοις;
Ποία δὲ χέρνιψ φρατόρων προσδέξεται;

ΑΠΟΛΛΩΝ.

Καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐρῶ.
Οὐκ ἔστι μήτηρ ἡ κεκλημένη τέκνου
Τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου·

VARIETAS LECTIONIS.

v. 635. πέδαις μὲν οὖν δήσει' ἂν] Ita nunc correxi vulgatum πέδας μὲν ἂν λύσειεν. Incommodum vulgatae lectionis jam ſenſit Wakefieldus. μὲν ἂς λύσειεν ἔπι Ald. μὲν ἂς λύσαιεν, ἔστι Turn.

v. 641. τίθησιν, οὐδὲν ἀσθμαίνων] τίθησιν οὐδέν, ἀσθμαίνω Turn.

v. 646. χέρνιψ φρατόρων] χέρνιψ φρατέρων corrupte Ald. προσδέξεται] προσδέξαιτο Rob.

v. 648. κεκλημένη] κεκλημένου Ald.

v. 649. τοκεὺς] τοκὰς conj. Spanhem. ad Callimach. νεοσπόρου] νεασπάρου Rob.

Τίκτει δ' ὁ θρώσκων, ἡ δ' ἅπερ ξένῳ ξένη
Ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψῃ θεός.
Τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.
Πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρός· πέλας
Μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διός,
Οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη,
Ἀλλ' οἷον ἔρνος οὔτις ἂν τέκοι θεός.
Ἐγὼ δέ, Παλλάς, τἄλλα θ', ὡς ἐπίσταμαι,
Τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν,
Καὶ τόνδ' ἔπεμψα σῶν δόμων ἐφέστιον,
Ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου.
Καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεά,
Καὶ τοὺς ἔπειτα. Καὶ τάδ' αἰανῶς μένοι,
Στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.

ΑΘΗΝΗ.

Ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν
Ψῆφον δικαίαν, ὡς ἅλις λελεγμένων.

ΧΟΡΟΣ.

Ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος.
Μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.

ΑΘΗΝΗ.

Τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμομφος ὦ;

ΧΟΡΟΣ.

VARIETAS LECTIONIS.

v. 651. βλάψῃ] κλέψει conj. Pauw. frustra.

v. 652. τεκμήριον] τεκμήριος Ald.

v. 657. τἄλλα θ' ὡς] τἄλλα θ' ὃς Ald.

v. 662. αἰανῶς] αἰῶνος Ald. Rob.

v. 663. τὰ πιστὰ] τ' ἄπιστα Ald.

v. 668. πῶς τιθεῖσ'] Casaub. emendabat προστιθεῖσ'. ἄμομφος] ἄμορφος Ald.

ΧΟΡΟΣ.

Ἠκούσαθ᾽ ὧν ἠκούσατ᾽, ἐν δὲ καρδίᾳ
Ψῆφον φέροντες ὅρκον αἰδεῖσθε, ξένοι.

ΑΘΗΝΗ.

Κλύοιτ᾽ ἂν ἤδη θεσμὸν Ἀττικὸς λεώς,
Πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
Ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέῳ στρατῷ
Ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον.
Πάγον δ᾽ Ἄρειον τόνδ᾽ Ἀμαζόνων ἕδραν
Σκηνάς θ᾽, ὅτ᾽ ἦλθον Θησέως κατὰ φθόνον
Στρατηλατοῦσαι, καὶ πόλιν νεόπτολιν
Τήνδ᾽ ὑψίπυργον ἀντεπύργωσαν τότε·
Ἄρει δ᾽ ἔθυον, ἔνθεν ἔστ᾽ ἐπώνυμος
Πέτρα, πάγος τ᾽ Ἄρειος· ἐν δὲ τῷ σέβας
Ἀστῶν, φόβος τε συγγενὴς τὸ μὴ ᾽δικεῖν
Σχήσει, τό θ᾽ ἦμαρ καὶ κατ᾽ εὐφρόνην ὁμῶς,
Αὐτῶν πολιτῶν μὴ ᾽πικαινούντων νόμους·
Κακαῖς δ᾽ ἐπιῤῥοαῖσι βορβόρῳ θ᾽ ὕδωρ
Λαμπρὸν μιαίνων οὔποθ᾽ εὑρήσεις ποτόν.

Τὸ

VARIETAS LECTIONIS.

v. 669. ἠκούσαθ᾽ ὧν ἠκούσατ᾽] ἤκουσα θ᾽ ὧν ἤκουσά τ᾽ Ald.

v. 670. αἰδεῖσθε] αἰδεῖσθαι Rob.

v. 672. κρίνοντες] κρίνοντας em. Stanl.

v. 673. ἔσται δὲ] δὲ abeſt Rob.

v. 674. αἰεὶ δικαστῶν] αἰεὶ δ᾽ ἑκάστῳ Ald. Turn. αἰεὶ δ᾽ ἑκάστων cett. edd. Canterus divinaverat αἰεὶ δικαστῶν. Pauwius autem αἰὲν ἀδέκαστον.

v. 678. ἀντεπύργωσαν] ἀνεπύργωσαν alicubi reperit Steph.

v. 683. ἐπικαινούντων] Sic emend. Steph. Vulg. ἐπικαινόντων. πικραινόντων Caſaub.

Τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον
Ἀστοῖς περιστέλλουσι βουλεύω σέβειν,
Καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν.
Τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν;
Τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας,
Ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον
Ἔχοιτ' ἄν, οἷον οὔτις ἀνθρώπων ἔχει,
Οὔτ' ἐν Σκύθῃσιν οὔτε Πέλοπος ἐν τόποις
Κερδῶν ἄθικτον τοῦτο βουλευτήριον
Αἰδοῖον, ὀξύθυμον, εὑδόντων ὕπερ
Ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
Ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν
Ἀστοῖσιν εἰς τὸ λοιπόν. Ὀρθοῦσθαι δὲ χρὴ
Καὶ ψῆφον αἴρειν, καὶ διαγνῶναι δίκην,
Αἰδουμένους τὸν ὅρκον. Εἴρηται λόγος.

ΧΟΡΟΣ.

Καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς
Ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.

ΑΠΟΛΛΩΝ.

Κἄγωγε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς
Ταρβεῖν κελεύω, μηδ' ἀκαρπώτους κτίσαι.

ΧΟΡΟΣ.

Ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις.
Μαντεῖα δ' οὐκ ἔθ' ἁγνὰ μαντεύσει νέμων.

ΑΠΟΛ-

VARIETAS LECTIONIS.

v. 687. σέβειν] σέθεν Ald. Turn.

v. 690. τοι] abest Rob.

v. 706. μαντεύσει νέμων] μαντευσημένων Ald.

ΑΠΟΛΛΩΝ.

Ἦ καὶ πατὴρ τι σφάλλεται βουλευμάτων
Πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;

ΧΟΡΟΣ.

Λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης
Βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν.

ΑΠΟΛΛΩΝ.

Ἀλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
Θεοῖς ἄτιμος εἶ σύ· νικήσω δ' ἐγώ.

ΧΟΡΟΣ.

Τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις,
Μοίρας τ' ἔπεισας ἀφθίτους θεῖναι βροτούς.

ΑΠΟΛΛΩΝ.

Οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
Ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι;

ΧΟΡΟΣ.

Σύ τοι παλαιοὺς δὴ νόμους καταφθίσας
Ὕπνῳ παρηπάτησας ἀρχαίας θεάς.

ΑΠΟΛ-

VARIETAS LECTIONIS.

v. 708. προστροπαῖς] προστροπὰς Ald. προτροπαῖς Rob.

v. 714. μοίρας τ'] Copulam recte inseruit Hermannus. θεῖναι] θ' εἶναι Ald.

v. 716. χὤτε] χ' ὡς Rob. χ' ὥστε Ald. Turn.

v. 717. παλαιοὺς δὴ νόμους] Sic emendavimus coll. v. 800. Vulgo παλαιὰς δαίμονας.

v. 718. ὕπνῳ] E verissima Stanl. emendatione. Vulg. οἴνῳ. Pauwii ratio frigida est: οἴνῳ παραπατήσαις ἂν ἀ. θεάς.

ΑΠΟΛΛΩΝ.

Σύ τοι τάχ', οὐκ ἔχουσα τῆς δίκης τέλος,
Ἐμεῖ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.

ΧΟΡΟΣ.

Ἐπεὶ καθιππάζει με πρεσβῦτιν νέος,
Δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω,
Ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.

ΑΘΗΝΗ.

Ἐμὸν τόδ' ἔργον, λοισθίαν κρῖναι δίκην.
Ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι.
Μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο.
Τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν,
Ἅπαντι θυμῷ, κάρτα δ' εἰμὶ τοῦ πατρός.
Οὕτω γυναικὸς οὐ προτιμήσω μόρον
Ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον.
Νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ.
Ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους
Ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.

ΟΡΕΣΤΗΣ.

Ὦ Φοῖβ' Ἄπολλον πῶς ἀγὼν κριθήσεται;

ΧΟΡΟΣ.

Ὦ Νὺξ μέλαινα, μῆτερ, ἆρ' ὁρᾷς τάδε;

ΟΡΕΣΤΗΣ.

Νῦν ἀγχόνης μοι τέρματ', ἢ φάος βλέπειν·

ΧΟΡΟΣ.

VARIETAS LECTIONIS.

v. 723. ἀμφίβουλος] ἀμφίβολος Ald. Rob.
v. 729. οὐ] καὶ Ald.
v. 732. πάλους] πάλος Vict.

ΧΟΡΟΣ.

Ἡμῖν δ' ἄρ' ἔῤῥειν, ἢ πρόσω τιμὰς μένειν.

ΑΠΟΛΛΩΝ.

Πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι,
Τὸ μὴ 'δικεῖν σέβοντες ἐν διαιρέσει.
Γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα,
Βαλοῦσα τ' οἶκον ψῆφος ὤρθωσεν μία.

ΑΘΗΝΗ.

'Ανὴρ ὅγ' ἐκπέφευγεν αἵματος δίκην.
Ἶσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων.

ΟΡΕΣΤΗΣ.

Ὦ Παλλάς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους,
Καὶ γῆς πατρῴας ἐστερημένον, σύ τοι
Κατῴκισάς με· καί τις Ἑλλήνων ἐρεῖ,
'Αργεῖος ἀνὴρ αὖθις ἔν τε χρήμασιν
Οἰκεῖ πατρῴοις, Παλλάδος καὶ Λοξίου
Ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου
Σωτῆρος, ὃς πατρῷον αἰδεσθεὶς μόρον
Σώζει με, μητρὸς τάσδε συνδίκους ὁρῶν.

'Εγὼ

VARIETAS LECTIONIS.

v. 737. ἡμῖν δ' ἄρ'] Sic reſcripſi pro vulg. ἡμῖν γὰρ, cui particulae nullus eſt hic locus. ἔῤῥειν] ἔρον Aldin. πρόσω τιμὰς μένειν] Ita correxi vulg. πρόσω τιμὰς νέμειν. Et ſic jam Wakefieldus emendaverat.

v. 738. Quatuor ſeqq. verſiculi Eumenidibus tribuuntur Ald. Rob. Turn.

v. 741. βαλοῦσα] Pauwius conj. βαλοῦσαν, ut pertineat ad γνώμην. ὤρθωσεν] ὤρθωσαν Ald.

v. 746. ἐστερημένον] Caſaub. emend. μ' ἐστερημένον.

v. 747. χρήμασιν] D'Orvillius ad Chariton. p. 197. conj. κτήμασιν.

Ἐγὼ δὲ χώρᾳ τῇδε, καὶ τῷ σῷ στρατῷ
Τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον,
Ὁρκωμοτήσας νῦν ἄπειμι πρὸς δόμους,
Μήτοι τιν᾽ ἄνδρα δεῦρο πρυμνήτην χθονὸς
Ἐλθόντ᾽ ἐποίσειν εὖ κεκασμένον δόρυ.
Αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τάφοις τότε
Τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα
Ἀμηχάνοισι φράξομεν δυσπραξίαις
Ὁδοὺς, ἀθύμους καὶ παρόρνιθας πόρους
Τιθέντες, ὡς αὐτοῖσι μεταμέλῃ πόνος·
Ὀρθουμένοις δὲ καὶ πόλιν τὴν Παλλάδος
Τιμῶσιν ἀεὶ τήνδε συμμάχῳ δορὶ,
Αὐτοῖσιν ἡμεῖς ἐσμεν εὐμενέστεροι.
Καὶ χαῖρε καὶ σὺ, καὶ πολισσοῦχος λεώς,
Πάλαισμ᾽ ἄφυκτον τοῖς ἐναντίοις ἔχοι
Σωτήριόν τε καὶ δορὸς νικηφόρον.

ΧΟΡΟΣ.

στροφή. Ἰὼ θεοὶ νεώτεροι,
Παλαιοὺς νόμους
Καθιππάσασθε, κἀκ χερῶν εἵλεσθέ μου.

VARIETAS LECTIONIS.

v. 753. πλειστήρη] πλειστήρη Turn.

v. 756. ἐποίσειν] ἐςήσειν Ald. Turn.

v. 759. φράξομεν — ὁδοὺς,] Sic nunc emendavi. Vulg. πράξομεν ita ut post ὁδοὺς haud interpungatur.

v. 760. ἀθύμους] Casaub. suspicabatur legendum esse ἀτίμους. παρόρνιθας] παρ᾽ ὄρνιθας Ald. Turn.

v. 762. ὀρθουμένοις] Sic Turn. ὀρθουμένων Ald. Rob. Vict.

v. 764. εὐμενέστεροι] ἀσμενέστεροι Rob.

v. 770. εἵλεσθέ μου] εἵλετέ μου Ald.

Ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος
Ἐν γᾷ τᾷδε, φεῦ,
Ἰού, ἰού, ἀντιπενθῆ
Μεθεῖσα καρδίας
Σταλαγμὸν χθονὶ ἄφορον· ἐκ δὲ τοῦ
Λιχὴν ἄφυλλος, ἄτεκνος, ὦ δίκα,
Πέδον ἐπισύμενος
Βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
Στενάζω; τί ῥέξω;
Τί γένωμαι; δύςοιστα
Πολίταις πάθον;
Ἰώ· μεγάλα τοι κόραι δυςτυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.

ΑΘΗΝΗ.

Ἐμοὶ πίθεσθε, μὴ βαρυστόνως φέρειν.
Οὐ γὰρ νενίκησθ', ἀλλ' ἰσόψηφος δίκη
Ἐξῆλθ' ἀληθῶς, οὐκ ἀτιμίᾳ σέθεν.

Ἀλλ'

VARIETAS LECTIONIS.

v. 773. ἀντιπενθῆ] Sic Rob. Turn. Vict. ἀντιπαθῆ Ald.

v. 775. χθονὶ ἄφορον] χθονιαφόρον Ald. Rob. Turn. Vict. χθονιαφθόρον conj. Stanl. χθονόφθορον mavult Heath.

v. 777. ἐπισύμενος] ἐπεσύμενος Rob. Vulg. ἐπισσύμενος.

v. 778. κηλῖδας] κλῖδας Rob. βαλεῖ] Haec est lectio Turn., quam cum Stanlejo praetulimus. Vulg. βαλεῖν.

v. 781. πάθον] Sic Hermannus, Vulg. ἔπαθον.

v. 782. μεγάλα τοι] μεγάλα τρυ Ald. Rob.

v. 784. πίθεσθε] πείθεσθε Rob.

v. 786. ἀτιμίᾳ] ἀτιμίας Turn.

Ἀλλ᾽ ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν·
Αὐτός θ᾽ ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν,
Ὡς ταῦτ᾽ Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
Ὑμεῖς δὲ τῇ γῇ τῇδε μὴ βαρὺν κότον
Σκήψησθε, μὴ θυμοῦσθε, μηδ᾽ ἀκαρπίαν
Τεύξητ᾽, ἀφεῖσαι πλευμόνων σταλάγματα,
Βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
Ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι
Ἕδρας τε καὶ κευθμῶνας ἐνδίκους χθονός,
Λιπαροθρόνοισιν ἡμένας ἐπ᾽ ἐσχάραις,
Ἕξειν, ὑπ᾽ ἀστῶν τῶνδε τιμαλφουμένας.

ΧΟΡΟΣ.

ἀντιστρ. Ἰὼ θεοὶ νεώτεροι,
Παλαιοὺς νόμους
Καθιππάσασθε, κἀκ χερῶν εἵλεσθέ μου.
Ἐγὼ δ᾽ ἄτιμος ἡ τάλαινα βαρύκοτος
Ἐν γᾷ τᾷδε, φεῦ,
Ἰού, ἰού, ἀντιπενθῆ
Μεθεῖσα καρδίας

Στα-

VARIETAS LECTIONIS.

v. 788. ὁ χρήσας] ἤθησας Ald. ὁ θήσας Rob.

v. 790. δὲ τῇ γῇ τῇδε μὴ] δέ τε τῇδε γῇ Rob.

v. 791. σκήψησθε] σκήψασθε Ald. Turn.

v. 792. πλευμόνων] Bene sic emendavit Wakefieldus. Vulg. δαιμόνων.

v. 793. αἰχμὰς] αὐχμοὺς conj. Spanhem. ad Callimachi Hymn. in Dianam. Sed bene ſe habet vulgata.

v. 794. πανδίκως] πάνδικος Ald.

v. 795. ἐνδίκους] Vulg. ἐνθίκου. Heathius conj. ἐνδίκως.

Σταλαγμὸν χθονὶ ἄφορον· ἐκ δὲ τοῦ
Λιχὴν ἄφυλλος, ἄτεκνος, ὦ δίκα,
Πέδον ἐπισύμενος
Βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
Στενάζω; τί ῥέξω;
Τί γένωμαι; δύςοιστα
Πολίταις πάθον·
Ἰὼ μεγάλα τοι κόραι δυςτυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.

ΑΘΗΝΗ.

Οὐκ ἔστ᾽ ἄτιμοι, μηδ᾽ ὑπερθύμως ἄγαν
Θεαὶ βροτῶν στήσητε δύςκηλον χθόνα.
Κἀγὼ πέποιθα Ζηνί, καὶ τί δεῖ λέγειν;
Καὶ κλῇδας οἶδα δωμάτων μόνη θεῶν,
Ἐν οἷς κεραυνός ἐστιν ἐσφραγισμένος·
Ἀλλ᾽ οὐδὲν αὐτοῦ δεῖ· σὺ δ᾽ εὐπειθὴς ἐμοὶ
Γλώσσης ματαίας μὴ ᾽κβάλῃς ἐπὶ χθόνα
Καρπόν, φέροντα πάντα μὴ πράσσειν καλῶς.
Κοίμα κελαινοῦ κύματος πικρὸν μένος,
Ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·
Πολλῆς δὲ χώρας τῆσδ᾽ ἔτ᾽ ἀκροθίνια

VARIETAS LECTIONIS.

v. 805. χθονὶ ἄφορον] χθονιάφορον Ald. etc. χθονιαφθόρον conj. Stanl.

v. 812. μεγάλα τοι] μεγάλατοι Ald.

v. 814. μηδ᾽] μὴ δ᾽ Rob.

v. 815. δύςκηλον] Pauw. conj. δύςκολον.

v. 818. ἐν οἷς] Vulg. ἐν ᾧ.

v. 822. κοίμα] κοίματος Ald.

v. 824. τῆσδ᾽ ἔτ᾽ ἀκροθίνια] Sic Hermannus vulgata τῆςδε τἀκροθίνια.

Θύη, πρὸ παίδων καὶ γαμηλίου τέλους,
Ἔχουσ᾽ ἐς αἰεὶ τόνδ᾽ ἐπαινέσεις λόγον.

ΧΟΡΟΣ.

στροφή. Ἐμὲ παθεῖν τάδε,
Φεῦ,
Ἐμὲ ταλαίφρονα κατὰ γᾶν οἰκεῖν,
Φεῦ,
Ἀτίετον μύσος.
Πνέω τοι μένος, ἅπαντά τε κότον.
Οἶ, οἶ, δᾶ, φεῦ.
Τίς μ᾽ ὑποδύεται
Πλευρὰς ὀδύνα;
Θυμὸν ἄϊε, μᾶτερ
Νύξ. Ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν
Δυσπάλαμοι παρ᾽ οὐδὲν ἦραν δόλοι.

ΑΘΗΝΗ.

Ὀργὰς ξυνοίσω σοι· γεραιτέρα γὰρ εἶ.
Καίτοι γε μὴν σὺ κάρτ᾽ ἐμοῦ σοφωτέρα·
Φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς.
Ὑμεῖς δ᾽ ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα

Γῆς

VARIETAS LECTIONIS.

v. 825. θύη] Vulg. θυῆ. Illud autem verum esse jam Stanl. divinavit, nec aliter verborum constructio constat. τέλους] τέλος Turn.

v. 828. ταλαίφρονα] παλαιόφρονα Vict. ταλαιόφρονα Vulg.

v. 833. πλευρὰς] πλευρᾶς Rob.

v. 835. τιμᾶν δαμιᾶν] τιμῶν δαμαίων Rob.

v. 838. γε μὴν] μὲν Rob.

Γῆς τῆσδ' ἐρασθήσεσθε· προὐννέπω τάδε.
Οὑπιρρέων γὰρ τιμιώτερος χρόνος
Ἔσται πολίταις τοῖσδε. Καὶ σὺ τιμίαν
Ἕδραν, ἔχουσα πρὸς δόμοις Ἐρεχθέως
Τεύξει παρ' ἀνδρῶν καὶ γυναικείων στόλων,
Ὅσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν.
Σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς
Μήθ' αἱματηρὰς θηγάνας, σπλάγχνων βλάβας
Νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασιν·
Μηδ', ἐξόρουσ' ὡς καρδίαν ἀλεκτόρων,
Ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσῃς Ἄρη
Ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασύν.
Θυραῖος ἔστω πόλεμος, οὐ μῶλος παρών,
Ἐν ᾧ τις ἔσται δεινὸς εὐκλείας ἔρως·
Ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην.

VARIETAS LECTIONIS.

v. 849. ἀοίνοις] ἀοίνους Ald. Sensus postulat παροίνοις.

v. 850. ἐξόρουσ'] Sic emendavimus vulgatum ἐξελοῦσ', quod nullo modo admitti potest. Pauwii conjectura ἐκχέουσ' haud melior vulgata lectione. Hermannus dedit ἐξέδουσ'. Jacobsius autem proposuit μηδὲ ζέουσ'.

v. 851. ἱδρύσῃς Ἄρη] ἐν τοῖς ἐμοῖσιν αὐτοῖσιν ἱδρύσῃ κόρῃ nimis corrupte Ald. Sic et Rob. nisi quod pro κόρῃ habet βάρῃ. ἐν τοῖς ἐμοῖς αὐτοῖσιν ἱδρύσῃ κόρῃ Turn. Reliquae editiones ἱδρύσῃ κάρα. Sed unice verum est, quod jam viderat Steph. ἱδρύσῃς Ἄρη.

v. 852. ἀλλήλους] ἐλλήνους Ald.

v. 853. οὐ μῶλος παρών] E Wakefieldi conjectura pro vulg. οὐ μόλις παρών. Hermannus dedit ἢ μόλις παρών.

Τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ,
Εὖ δρῶσαν, εὖ πάσχουσαν, εὖ τιμωμένην
Χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.

ΧΟΡΟΣ.

ἀντιστρ. Ἐμὲ παθεῖν τάδε,
Φεῦ,
Ἐμὲ παλαίφρονα κατὰ γᾶν οἰκεῖν,
Φεῦ,
Ἀτίετον, μῦσος.
Πνέω τοι μένος, ἅπαντά τε κότον.
Οἶ, οἶ, δᾶ, φεῦ.
Τίς μ' ὑποδύεται
Πλευρὰς ὀδύνα;
Θυμὸν ἄϊε, μᾶτερ
Νύξ. Ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν
Δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι.

ΑΘΗΝΗ.

Οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθά·
Ὡς μήποτ' εἴπῃς, πρὸς νεωτέρας ἐμοῦ,
Θεὸς παλαιὰ καὶ πολισσοῦχος βροτῶν,
Ἄτιμος ἔῤῥειν, τοῦδ' ἀπόξενος πέδου.
Ἀλλ' εἰ μὲν ἁγνόν ἐστί σοι Πειθοῦς σέβας,
Γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον,
Σὺ δ' οὖν μένοις ἄν· εἰ δὲ μὴ θέλεις μένειν,

Οὔτ'

VARIETAS LECTIONIS.

v. 860. παλαίφρονα] παλαιόφρονα Ald. ut supra.

v. 871. πολισσοῦχος] Hoc Steph. in MSS. invenit. Vulg. πολισσούχων.

Οὔτ' ἂν δικαίως τῇδ' ἐπιῤῥέποις πόλει
Μῆνίν τιν' ἢ κότον τιν', ἢ βλάβην στρατῷ.
Ἔξεστι γάρ σοι τῇδε γ' ἔμμοιρον χθονὸς
Εἶναι, δικαίως ἐς τὸ πᾶν τιμωμένῃ.

ΧΟΡΟΣ.

Ἄνασσ' Ἀθάνα, τίνα με φῂς ἔχειν ἕδραν;

ΑΘΗΝΗ.

Πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σύ.

ΧΟΡΟΣ.

Καὶ δὴ δεδέγμαι· τίς δέ μοι τιμὴ μένει;

ΑΘΗΝΗ.

Ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν.

ΧΟΡΟΣ.

Σὺ τοῦτο πράξεις, ὥστε με σθένειν τόσον;

ΑΘΗΝΗ.

Τῷ γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν.

ΧΟΡΟΣ.

Καί μοι προπαντὸς ἐγγύην θήσει χρόνου;

VARIETAS LECTIONIS.

v. 878. τῇδε] Pauwius mavult τῇςδε. ἔμμοιρον] Sic Hermannus. Vulg. εὔμοιρον. In Ald. ἀμοίρου.

v. 883. εὐθενεῖν] ἀθενεῖν Rob. εὐσθενεῖν ceterae edd. Verum εὐθενεῖν hic aptius.

v. 886. προπαντὸς] Hoc auctore Abreſchio inveximus. In edd. eſt πρὸ παντὸς —.

ΑΘΗΝΗ.

Ἔξεστι γάρ μοι μὴ λέγειν, ἃ μὴ τελῶ.

ΧΟΡΟΣ.

Θέλξειν μ' ἔοικας, καὶ μεθίσταμαι κότου.

ΑΘΗΝΗ.

Τοὶ γὰρ κατὰ χθόν' οὖσ' ἐπικτήσει φίλους.

ΧΟΡΟΣ.

Τί οὖν μ' ἀνώγας τῇδ' ἐφυμνῆσαι χθονί;

ΑΘΗΝΗ.

Ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα,
Καὶ ταῦτα γῆθεν, ἔκ τε ποντίας δρόσου,
Ἐξ οὐρανοῦ τε κἀνέμων ἀήματα
Εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα·
Καρπόν τε γαίας καὶ βοτῶν ἐπίῤῥυτον
Ἀστοῖσιν εὐθενοῦντα μὴ κάμνειν χρόνῳ,
Καὶ τῶν βροτείων σπερμάτων σωτηρίαν.
Τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις.
Στέργω γάρ, ἀνδρὸς φιτυποιμένος δίκην,

Τὸ

VARIETAS LECTIONIS.

v. 890. τῇδ' ἐφυμνῆσαι] τῇδ' εὐφημῆσαι Ald. τῇδε φημῆσαι Turn.

v. 891. ὁποῖα] cum ſigno interrogationis alicubi ſcriptum reperit Steph.

v. 894. εὐηλίως] ἐνηλίως Rob. Vict.

v. 895. βοτῶν] Sic reſcribendum eſſe bene monuit Stanl. Vulgo βροτῶν.

v. 896. εὐθενοῦντα] εὐθενοῦντας Rob.

v. 899. φιτυποιμένος] Praeſtantiſſimam hanc lectionem revocavi e Turnebiana. In ceteris edd. eſt στέργω γὰρ ἀνδρὸς φῖτυ, ποιμένος δίκην.

Τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.
Τοιαῦτα σοῦ 'στι. Τῶν ἀρειφάτων δ' ἐγὼ
Πρεπτῶν ἀγώνων οὐκ ἀνέξομαι τὸ μὴ οὐ
Τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾷν πόλιν.

ΧΟΡΟΣ.

στρ. α'. Δέξομαι Παλλάδος ξυνοικίαν,
Οὐδ' ἀτιμάσω πόλιν
Τὰν καὶ Ζεὺς ὁ παγκρατὴς
Ἀρής τε φρούριον θεῶν νέμει,
Ῥυσίβωμιον Ἕλλα-
νων ἄγαλμα δαιμόνων.
Ἅιτ' ἐγὼ κατεύχομαι,
Θεσπίσασα πρευμενῶς
Ἐπισσύτους βίου τύχας ὀνησίμους,
Γαίας ἐξαμβρῦσαι
Φαιδρὸν ἁλίου σέλας.

ΑΘΗΝΗ.

Τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις
Πράσσω, μεγάλας καὶ δυςαρέστους
Δαίμονας αὐτοῦ κατανασσαμένη.

VARIETAS LECTIONIS.

v. 901. σοῦ 'στι] σ' οὗτοι Turn.

v. 902. ἀνέξομαι] ἀφέξομαι conj. Pauw.

v. 908. ῥυσίβωμον] ῥυσίβολον Ald. Turn.

v. 910. ἅτ'] Sic Turn. Vulgo ἅτ'.

v. 912. ἐπισσύτους] ἐπιτεύκτους Turn.

v. 913. ἐξαμβρῦσαι] In edd. est ἐξαμβρόσαι. Pauwius conj. ἐξαμβλῶσαι, vel ἐξαμβρῦσαι. Posterius ut aptissimum h. l. recepimus.

Πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους
Ἔλαχον διέπειν.
Ὁ δὲ μὴ κύρσας πράων τούτων,
Οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου.
Τὰ γὰρ ἐκ προτέρων ἀπλακήματά νιν
Πρὸς τάσδ' ἀπάγει, σιγῶν δ' ὄλεθρος
Καὶ μέγα φωνοῦντ'
Ἐχθραῖς ὀργαῖς ἀμαθύνει.

ΧΟΡΟΣ.

ἀντιστρ. α'. Δενδροπήμων δὲ μὴ πνέοι βλάβα,
Τὰν ἐμὰν χάριν λέγω,
Φλογμὸς δ' ὀμματοστερὴς
Φυτῶν, τὸ μὴ περᾷν ὅρον τόκων,
Μηδ' ἄκαρπος αἰα-
νὸς ἐφερπέτω νόσος,
Μᾶλά τ' εὐθενοῦντ' ἄγαν
Σὺν δίπλοισιν ἐμβρύοις
Χώρα τρέφοι χρόνῳ τεταγμένῳ· γόνος

Πλου-

VARIETAS LECTIONIS.

v. 920. ὁ δὲ μὴ κύρσας πράων τούτων] Ita nunc correxi vulgatam ὁ δὲ μὴ κύρσας βαρέων τούτων, quod est sensui prorsus contrarium. Hermannus dedit ὁ δὲ μὴ κύρσας βαρέων αὐτῶν.

v. 924. μέγα φωνοῦντ'] μεγαφώνους τ' Ald. μεγαφώνους Turn.

v. 929. τόκων] Sic emendavi vulg. τόπων.

v. 933. δίπλοισιν] διπλοῖς Ald. Rob. etc.

v. 934. χώρα τρέφοι] Vulg. τρέφοι sine substantivo. Stanlej. γαῖα supplendum censebat. Nos χώρα praeeunte Hermanno adscivimus.

Πλουτόχθων ἑρμαίαν
Δαιμόνων δόσιν τίοι.

ΑΘΗΝΗ.

Ἦ τάδ' ἀκούετε, πόλεως φρούριον,
Οἷ' ἐπικραίνει; μέγα γὰρ δύναται
Πότνι' Ἐριννὺς παρά τ' ἀθανάτοις,
Τοῖς θ' ὑπὸ γαῖαν, περί τ' ἀνθρώπων
Φανερῶς τελέως διαπράσσουσι
Τοῖς μὲν ἀοιδάς, τοῖς δ' αὖ δακρύων
Βίον ἀμβλωπὸν παρέχουσαι.

ΧΟΡΟΣ.

στρ. β'. Ἀνδροκμῆτας δ' ἀώ-
ρους ἀπεννέπω τύχας,
Νεανίδων τ' ἐπηράτων
Ἀνδροτυχεῖς βιότους δότε κύρι' ἔχοντας,
Θεαί, καὶ Μοῖραι
Ματροκασιγνῆται,
Δαίμονες ὀρθονόμοι,
Πάντι δόμῳ μετάκοινοι,

Πάντι

VARIETAS LECTIONIS.

v. 938. ἐπικραίνει] ἐπικρανεῖ, invito metro. γὰρ] abest Rob.

v. 942. δακρύων] κρύων Rob.

v. 944. ἀώρους] ἀώροις Rob.

v. 947. ἔχοντας] Sic emendavimus ipsi. Vulg. ἔχοντες. Stanl. emendandum arbitrabatur ἔχουσαι ut ad Θεαὶ pertineret.

v. 951. μετάκοινοι] μεγάκοινοι Rob.

Πάντι χρόνῳ δ' ἐπιβριθαῖς
Ἐνδίκοις ὁμιλίαις,
Πάντα τιμιώταται θεῶν.

ΑΘΗΝΗ.

Τάδε τοι χώρᾳ
Τῇ 'μῇ προφρόνως ἐπικραινομένων
Γάνυμαι· στέργω δ' ὄμματα Πειθοῦς,
Ὅτι μοι γλῶσσαν καὶ στόμ' ἐπώπα
Πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας·
Ἀλλ' ἐκράτησε Ζεὺς ἀγοραῖος,
Νικᾷ δ' ἀγαθῶν
Ἔρις ἡμετέρα διὰ παντός.

ΧΟΡΟΣ.

ἀντιστρ. β'. Τὰν δ' ἄπληστον κακῶν
Μήποτ' ἐν πόλει στάσιν
Τᾷδ' ἐπεύχομαι βρέμειν.
Μηδὲ πιοῦσα κόνις μέλαν αἷμα πολιτᾶν
Δι' ὀργὰν ποινᾶς
Ἀντιφόνους ἄτας
Ἁρπαλίσαι πόλεως.
Χάρματα δ' ἀντιδιδοῖεν
Κοινοφιλεῖ διανοίᾳ,
Καὶ στυγεῖν μιᾷ φρενί.
Πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος.

ΑΘΗ-

VARIETAS LECTIONIS.

v. 963. ἄπληστον] ἄπλειστον Ald.
v. 965. ἐπεύχομαι] ἐπαύχομαι Rob.

ΑΘΗΝΗ.

Ἆρα φρονοῦσα γλώσσης ἀγαθῆς
Ὁδὸν εὑρίσκεις;
Ἐκ τῶν φοβερῶν τῶνδε προσώπων
Μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις.
Τάσδε γὰρ εὔφρονας εὔφρονες αἰεὶ
Μέγα τιμῶντες, καὶ γῆν, καὶ πόλιν
Ὀρθοδίκαιοι
Πρέψετε πάντως διάγοντες.

ΧΟΡΟΣ.

στρ. γ΄. Χαίρετε, χαίρετ' ἐν ἀζημίαις πλούτου
Χαίρετ' ἀστυκὸς λεώς,
Ἴκταρ ἥμενοι Διός,
Παρθένου φίλας φίλοι,
Σωφρονοῦντες ἐν χρόνῳ·
Παλλάδος δ' ὑπὸ πτεροῖς
Ὄντας ἅζεται πατήρ.

ΑΘΗ-

VARIETAS LECTIONIS.

v. 974. φρονοῦσα] Sic Hermann. Vulg. φρονοῦσι.

v. 975. εὑρίσκεις] Sic Robort. Vulg. εὑρίσκει.

v. 978. εὔφρονας] εὐφρόνως Rob.

v. 982. χαίρετε] Hoc metri causa, Heathio auctore, praefiximus; ut responderet versiculus antithetico. ἀζημίαις] Edd. pleraeque ἀσιμίαις. αἰσιμίαις Rob. in textu: verum ad calcem editionis hoc ut erratum typographi notatur, et corrigitur ἀζημίαις. ἐραισιμίαις Turn.

v. 983. ἄστυχος] Erotianus in lexico Hippocr. legit Ἀττικός, notante Steph.

v. 985. παρθένου] Steph. in cod. invenit. παρθένους.

ΑΘΗΝΗ.

Χαίρετέ χὐμεῖς· προτέραν δ' ἐμέ χρὴ
Στείχειν θαλάμους ἀποδείξουσαν.
Πρὸς φῶς ἱερὸν τῶνδε προπόμπων
Ἴτε, καὶ σφαγίων τῶνδ' ὑπὸ σεμνῶν
Κατὰ γῆς σύμεναι, τὸ μὲν ἀτηρὸν
Χώρας κατέχειν, τὸ δὲ κερδαλέον
Πέμπειν πόλεως ἐπὶ νίκῃ.
Ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι
Παῖδες Κραναοῦ, ταῖςδε μετοίκοις.
Εἴη δ' ἀγαθῶν
Ἀγαθὴ διάνοια πολίταις.

ΧΟΡΟΣ.

ἀντιςρ. γ'. Χαίρετε, χαίρετε δ' αὖθις, ἐπιδιπλοίζω,
Πάντες οἱ κατὰ πτόλιν
Δαίμονές τε καὶ βροτοὶ
Παλλάδος πόλιν νέμον-
τες· μετοικίαν δ' ἐμὴν
Εὖ σέβοντες οὔτι μέμ-
ψεσθε συμφορὰς βίου.

ΑΘΗ-

VARIETAS LECTIONIS.

v. 991. προπομπῶν] προπομπὸν habent edd. Sed metri cauſa lectionem a Stanlejo propoſitam recepimus, ne verſiculus in trochaeum deſineret.

v. 993. ἀτηρὸν] Recte ſic Brunckius legendum cenſuit. Vulg. ἀτήριον.

v. 997. μετοίκοις] μέτοικοι Rob.

v. 1005. εὖ σέβοντες] εὖ σεβοῦντες Rob.

ΑΘΗΝΗ.

Αἰνῶ τε μύθους τῶνδε τῶν κατευγμάτων,
Πέμψω τε φέγγη λαμπάδων σελασφόρων
Εἰς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους,
Ξὺν προσπόλοισιν, αἵτε φρουροῦσιν βρέτας
Τοὐμὸν δικαίως. Ὄμμα γὰρ πάσης χθονὸς
Θησῆδος ἐξίκοιτ' ἄν, εὐκλεὴς λόχος
Παίδων, γυναικῶν, καὶ στόλος πρεσβυτίδων·
Φοινικοβάπτοις ἐνδυτοὶ δ' ἐσθήμασιν
Τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρός·
Ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς
Τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ.

ΠΡΟΠΟΜΠΟΙ.

στρ. α'. Βᾶτε δόμον μεγάλαι φιλότιμοι
Νυκτὸς παῖδες ἄπαιδες ὑπ' εὐ-
θύφρονι πομπᾷ·
Εὐφαμεῖτε δέ; χαίρουσαι
ἀντιστρ. α'. Γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισιν
Τιμαῖς καὶ θυσίαις πυρισέ-
πταις τε τύχαισιν.
Εὐφαμεῖτε δὲ πανδαμεί.

Ἴλαοι

VARIETAS LECTIONIS.

v. 1009. ἔνερθε] ἔνερθεν Rob.

v. 1010. φρουροῦσιν] Sic Rob. Vulg. φρουροῦσι.

v. 1014. ἐνδυτοὶ δ'] Ita correxi vulg. ἐνδυτοῖς.

v. 1017 — 1033. antistrophica esse vidit Hermann.

v. 1018. βᾶτε δόμον] βατ' ἐν δόμῳ Ald. βάτ' ἐν δόμῳ Rob. βάτ' ἐκ δόμων Vulg.

v. 1023. πυρισέπταις] Bene sic Hermannus. περίσεπται Vulg. περισέπτα Rob. περίσεπτα Turn.

v. 1024. τε τύχαισιν] Hermanno debetur. Vulg. τύχᾳ τε. Turn. τύχαις τε.

στρ. β'. Ἵλαοι δὲ καὶ εὐθύφρονες γᾷ
Δεῦρ' ἴτε, σεμναί, καὶ πυριδάπτῳ
Λαμπάδι τερπόμεναι. Καθ' ὁδὸν δ'
Ὀλολύξατέ νῦν ἐπὶ μόλπαις.

ἀντιστρ. β'. Σπονδαὶ δ' ἐς τὸ πᾶν ἐνδαΐδες οἴκων.
Παλλάδος ἀστοῖς Ζεὺς ὁ πανόπτας
Οὔρια Μοῖρα τε συγκατέβα.
Ὀλολύξατε νῦν ἐπὶ μόλπαις.

VARIETAS LECTIONIS.

v. 1030. ἐνδαΐδες] ἔνδᾳδες Rob. ἔνδαι δ' ἐς Turn.

v. 1031. ὁ πανόπτας] παντόπτας Rob.

v. 1032. οὔρια] Sic emendavit Hermannus. Vulg. οὕτω.

ΑΙΣΧΥΛΟΥ

ΤΡΑΓΩΙΔΙΑ

ΙΚΕΤΙΔΕΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΑΝΑΟΣ.
ΧΟΡΟΣ ΔΑΝΑΪΔΩΝ.
ΒΑΣΙΛΕΥΣ ΑΡΓΕΙΩΝ.
ΚΗΡΥΞ ΑΙΓΥΠΤΙΑΔΩΝ.

ΑΙΣΧΥΛΟΥ

ΙΚΕΤΙΔΕΣ.

ΧΟΡΟΣ Δαναϊδων.

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
Στόλον ἡμέτερον
Νάϊον ἀρθέντ' ἀπὸ προστομίων
Λεπταμαθῶν
Νείλου. Δίαν δὲ λιποῦσαι
Χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,
Οὔτιν' ἐφ' αἵματι δημηλασίᾳ
Ψήφῳ πόλεως γνωσθεῖσαι,

VARIETAS LECTIONIS.

v. 3. ἀρθέντ'] ἀρθέντα Turneb. ἀποπροστομίων] ἀπὸ στομίων Ald. πρὸ στομίων Turn.

v. 4. λεπταμαθῶν] λεπτομαθῶν Aldin. Robort. Turn. Vulg. λεπτοβαθῶν. Sed λεπταμαθῶν habet cod. Steph. it. Aurat. Pauwius autem in lectione λεπτομαθῶν latere putat λεπτοψαμάθων.

v. 5. λιποῦσαι] λειποῦσαι Ald. Rob. Pauwius vel Δίαν δὲ προλιποῦσαι, vel Δίαν δὴ λειποῦσαι reſcribendum opinatur.

Ἀλλ' αὐτογενήτων φυξάνορα
Γάμον Αἰγύπτου παίδων ἀσεβῆ
T' ὀνοταζόμεναι.
Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος
Καὶ στασίαρχος, τάδε πεσσονομῶν,
Κύδιστ' ἀχέων ἐπέκρανεν,
Φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον,
Κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ
Γένος ἡμέτερον, τῆς οἰστροδόνου
Βοὸς, ἐξ ἐπαφῆς
Διὸς εὐχόμενον τετελέσθαι.
Τίνα γοῦν χώραν εὔφρονα μᾶλλον
Τῆσδ' ἀφικοίμεθα
Σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις
Ἐριοστέπτοισι κλάδοισιν;

Ὦ

VARIETAS LECTIONIS.

v. 9. αὐτογενήτων] Ita nunc rescripsi. αὐτογένητον Ald. Rob. αὐτογενῆ τὸν vulg. φυξάνορα] φυλαξάνοραν Ald. Rob.

v. 13. Sic distinguere mavult Stanl. τάδε πεσσονομῶν κύδιστ' ἀχέων, ἐπέκρανε. Auratus malebat κήδιστ' ἀχέων.

v. 15. κῦμ' ἅλιον] Sic e conjectura Canteri. κυμβάλεον Ald. κυμάλεον Rob. κυμβαλέον Turn. Vict. etc.

v. 16. κέλσαι] καίασε mendose Ald. κάλεσεν Turn.

v. 17. οἰστροδόνου] οἰστροδόμου Ald. Rob.

v. 18. Βοὸς ἐξ ἐπαφῆς] Vulg. addebatur κἀξ ἐπιπνοίας in quo recte Bothius agnovit glossema additum e v. 45.

v. 19. τετελέσθαι] Sic emendavi vulg. τετέλεσται.

v. 20. γοῦν] οὖν Ald. Rob.

v. 23. ἐριοστέπτοισι], e Stanleji emendatione, in quam jam Scaliger et Auratus inciderant. ἱεροοσπτοισι Aldin. Rob. Turneb. Vict. etc.

Ὦ πόλις, ὦ γῆ καὶ λευκὸν ὕδωρ,
Ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι
Χθόνιοι θήκας κατέχοντες,
Καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ
Ὁσίων ἀνδρῶν, δέξασθ' ἱκέτην
Τὸν θηλυγενῆ στόλον αἰδοίῳ
Πνεύματι χώρας· ἀρσενοπληθῆ
Δ' ἐσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
Πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει
Θεῖναι, ξὺν ὄχῳ ταχυήρει
Πέμψατε πόντονδ', ἔνθα δὲ λαίλαπι
Χειμωνοτύπῳ, βροντῇ, στεροπῇ,
Τ' ὀμβροφόροισίν τ' ἀνέμοις ἀγρίας
Ἁλὸς ἀντήσαντες ὄλοιντο,
Πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει,
Σφετεριξάμενοι πατραδελφείαν
Τήνδ', ἀεκόντων ἐπιβῆναι.

VARIETAS LECTIONIS.

v. 24. ὦ πόλις ὦ] Bene ſic emendavit Stanl. in notis. ὧν πόλις ὧν edd. omnes. γῆ καὶ λευκὸν ὕδωρ] γῆς λευκὸν ὕδωρ Ald.

v. 26. κατέχοντες] Pauwius mavult ἐγκατέχοντες.

v. 28. δέξασθ'] δέξαι τ' Ald. δέξαιθ' edd. cett. δέξαισθ' Pauw. δέξασθ' recepimus auctore Heathio.

v. 31. δ' ἐσμὸν] δεσμὸν Ald. Rob.

v. 32. ἀσώδει] Pauwius conj. ἑλώδει.

v. 33. ξὺν ὄχῳ ταχυήρει] ξυνοχώτατα χυήρει Ald. mendoſe. ξὺν ὄχῳ τῷ ταχυήρει Pauw.

v. 39. σφετεριξάμενον] Spanhemius ad Julian. poſt Scaligerum emendari volebat σφετεριζαμένων. πατραδελφείαν] Vulg. πατραδελφίαν. Sed illud requirit verſus. *Pauw.*

στρ. α'. Νῦν δ' ἐπικεκλόμενα
Δῖον πόρτιν, ὑπέρ-
πόντιον τιμάορ', ἶνίν
Τ' ἀνθονομούσας προγόνου
Βοὸς ἐξ ἐπιπνοίας
Ζηνός. Ἔφαψιν ἐπωνυμίᾳ
Δ' ἐπεκραίνετο μόρσιμος αἰὼν
Εὐλόγως, Ἔπαφόν τ' ἐγέννασε.
ἀντιστρ. α'. Τόνδ' ἐπιλεξαμένα
Νῦν ἐν ποιονόμοις
Ματρὸς ἀρχαίας τόποις, τῶν
Πρόσθε πόνων μνασαμένα,
Τά τε νῦν ἐπιδείξω
Πιστὰ τεκμήρια, τά τ' ἀνόμοια
Οἶδ' ἄελπτά περ ὄντα φανεῖται.
Γνώσεται δὲ λόγους τις ἐν μάκει.

Εἰ

VARIETAS LECTIONIS.

v. 41. ἐπικεκλόμενα] Sic Turn. Cett. ἐπικεκλόμεναι.

v. 44. ἀνθονομούσας] ἀνθονόμους ταῖς Ald. ἀνθονόμους τὰς Rob. ἀνθονόμου τᾶς reliquae.

v. 46. Ζηνός.] Abeſt punctum Ald. Rob.

v. 48. τ' ἐγέννασε. τόνδ'] τε γεννέας οὔτ' Ald. δὲ γέννας ἐόντ' Rob. γεννᾶς ὄντ' Turn. Heathius, propterea quod nuspiam reperitur exemplum ſtrophae in medio vocabulo deſinentis, ita ut ejus poſterior pars ad antiſtrophen trahatur, bene correxit ἐγέννησέ; antiſtrophen autem a pronomine relativo ὃν incipiendam eſſe ſtatuit. Nobis autem aptius videtur τὸν. Ed. Glasgow. ἐγέννασεν ὃν τ' ἐπιλεξαμένα.

v. 50. ποιονόμοις] Sic Ald. Turn. Vulg. πιονόμοις.

v. 55. οἶδ'] οἶ δ' Ald. ἠδ' Rob. — Verſiculos 53-55.

ita

στρ. β'. Εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων
Ἔγγαιος, οἶκτον οἰκτρὸν αἴων,
Δοξάσει τις ἀκούων
Ὄπα τᾶς Τηρείας
Μήτιδος οἰκτρᾶς ἀλόχου
Κιρκηλάτου δ' ἀηδόνος·
ἀντιστρ. β'. Ἅτ' ἀπὸ χώρων ποταμῶν τ' εἰργομένα
Πενθεῖ νέον οἶκτον ἠθέων·
Ξυντίθησι δὲ παιδὸς
Μόρον, ὡς αὐτοφόνως
Ὤλετο πρὸς χειρὸς ἕθεν
Δυςμάτορος κότου τυχών.

VARIETAS LECTIONIS.

ita emendare tentavit Heathius:

τά τε νῦν ἐπιδείξω
πιστὰ τεκμήριά γ'· οὐκ ἀνόμοι-
α δ' ἄελπτά περ ὄντα φα-
νεῖται.

v. 59. δοξάσει τις ἀκούειν] Vulg. ἀκούων. Heath. conj. δοξάσαι πως ἀκούειν, in quo ἀκούειν placet, τις autem ſervandum.

v. 61. μήτιδος] μήνιδος conj. Heath. hoc ſenſu: vocem indignationis flebilis Tereae conjugis.

v. 63. ἅτ' ἀπὸ] ἃ τόπων Turn. εἰργομένα] ἐργομένα Turn.

v. 64. Sic emendandum cenſet Heathius:

πενθεῖ νέον τιν' οἶκτον, ἠθά-
δων,

in quo vocabulum ἠθάδων cum χώρων ποταμῶν τ' (duriſſima ſane ratione) jungendum putat, et ſic explicandum: *Quae a locis et fluviis conſuetis prohibita plangit planctum novum.*

v. 67. ἕθεν] Ita correxi vulg. ἕο, ἐν. Heathius ἑοῦ. Scaliger ἓ ἕ.

στρ. γ'. Τὼς καὶ ἐγὼ φιλοδύρτος Ἰαονίοισι νόμοισι
Δάπτω τὰν ἁπαλὰν
Νειλοθαλῆ παρειάν,
Ἀπειρόδακρύν τε καρδίαν.
Γόεδνα δ' ἀνθεμίζομαι
Δειμαίνουσα φίλους, τᾶς-
δε φυγᾶς θερίας ἀπὸ γᾶς
Εἴ τις ἐστὶ κηδεμών.

ἀντιστρ. γ'. Ἀλλὰ θεοὶ γενέται κλύετ' εὖ τὸ δίκαιον ἰδόντες,
Ἥβαν μὴ τέλεον
Δόντες ἔχειν παρ' αἶσαν,
Ὕβριν δὲ θυμῷ στυγοῦντες,
Πέλοιτ' ἂν ἔνδικοι γάμοις.
Ἔστι δὲ κἀκ πτολέμου τει-
ρομένοις βωμὸς φυγάσιν
Ῥῦμα δαιμόνων σέβας.

Εὐ-

VARIETAS LECTIONIS.

v. 69. φιλόδυρτος] Vulg. φιλοδύρτοις. Rob. φιλοδέρτοις. — Ἰαονίοισι] ἰανοίοισι Ald. Spanh. ad Ariſtoph. Ran. v. 695. in aliquot codicibus ſe reperiſſe teſtatur ἀηδονίοισι.

v. 70. ἁπαλὰν] παρειὰν Rob.

v. 71. νειλοθαλῆ] Vulg. νειλοθερῆ.

v. 75. θερίας] Vulg. ἀερίας.

v. 77. γενέται] Vulg. οἱ γενέται.

v. 78. ἥβαν] Vulg. ἢ καὶ.

v. 80. ὕβριν δὲ θυμῷ] ex Jacobſii emendatione. Vulg. ὕβριν δ' ἑτοίμως. Arnaldus pro ἑτοίμως legit ἐτύμως. Abreſchius malebat ὕβριν δέ τοι 'μως pro ὅμως. — στυγοῦντες] στυγόντες Ald. Rob. In fine hujus verſiculi particulam quandam, ut εὖ vel οὖν, excidiſſe Heathius exiſtimat. Fruſtra.

v. 82. κἀκ πτολέμου] κακοπτολέμου Ald. Turn.

v. 83. βωμὸς φυγάσιν] Vulg. βωμὸς Ἄρης φυγάσι. ἀρῆς

στρ. δ'. Εὐθύνη Διὸς εὖ παναληθής.
Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη,
Πάντᾳ τοι φλεγέθει, κἀν
Σκότῳ, μελαίνᾳ ξὺν τύχᾳ
Μερόπεσσι λαοῖς.

ἀντιστρ. δ'. Πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ,
Κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
Δαυλοὶ γὰρ πραπίδων δά-
σκιοί τε τείνουσιν πόροι
Κατιδεῖν ἄφραστοι.

στρ. ε'. Ἰάπτει δ' ἀπίδων
Ἀφ' ὑψιπύργων πανώλεις
Βροτούς, βίαν
Δ' οὔτις ἐξώπλιζε
Πανάποινον δαιμονίων·
Ἥμενον ἄνω φρόνημά πως

VARIETAS LECTIONIS.

ἀρῆς Turn. ἄτης olim hic lectum fuisse intelligitur a priore Scholiastae explicatione, qui interpretatur βλάβης. Heathius ab Aeschylo scriptum esse opinatur Ἀρηφυγάσι, hac nimirum sententia: *est autem et bello oppressis pugnamque detrectantibus altare praesidium, numnum scil. reverentia.*

v 85. εὐθύνη Διὸς εὖ παναληθής] Ita correxi vulg. εἰ θείη Διὸς εὖ παναληθῶς.

v. 88. μελαίνᾳ] μέλαινα Rob. μέλαιναι vulg. ξὺν τύχᾳ] Ita correxi vulg. ξυντυχίαι. In Ald. est ξύν τύχαι. In Rob. ξυντύχα.

v. 90. ἀσφαλὲς] Sic Ald. Rob. Vulg. ἀσφαλῶς.

v. 95. ἀπίδων] ex elegantissima Hermanni correctione. Vulg. ἀπιδών.

v. 98. οὔτις] οὔτιν' Ald. Rob. Turn. ἐξώπλιζε] Ita correxi vulg. ἐξοπλίζει.

v. 99. πανάποινον] Sic rescripsi pro vulg. τὰν ἄποινον.

στρ. γ'. Τὼς καὶ ἐγὼ φιλοδύρτος Ἰαονίοισι νόμοισι
Δάπτω τὰν ἁπαλὰν
Νειλοθαλῆ παρειάν,
Ἀπειρόδακρύν τε καρδίαν.
Γοεδνὰ δ' ἀνθεμίζομαι
Δειμαίνουσα φίλους, τᾶς-
δε φυγᾶς θερίας ἀπὸ γᾶς
Εἴ τις ἐστὶ κηδεμών.

ἀντιστρ. γ'. Ἀλλὰ θεοὶ γενέται κλύετ' εὖ τὸ δίκαιον ἰδόντες,
Ἥβαν μὴ τέλεον
Δόντες ἔχειν παρ' αἶσαν,
Ὕβριν δὲ θυμῷ στυγοῦντες,
Πέλοιτ' ἂν ἔνδικοι γάμοις.
Ἔστι δὲ κἀκ πτολέμου τει-
ρομένοις βωμὸς φυγάσιν
Ῥῦμα δαιμόνων σέβας.

Εὐ-

VARIETAS LECTIONIS.

v. 69. φιλόδυρτος] Vulg. φιλοδύρτοις. Rob. φιλοδέρτοις. — Ἰαονίοισι] ἰανοίοισι Ald. Spanh. ad Ariſtoph. Ran. v. 695. in aliquot codicibus ſe reperiſſe teſtatur ἀηδονίοισι.

v. 70. ἁπαλὰν] παρειὰν Rob.

v. 71. νειλοθαλῆ] Vulg. νειλοθερῆ.

v. 75. θερίας] Vulg. ἀερίας.

v. 77. γενέται] Vulg. οἱ γενέται.

v. 78. ἥβαν] Vulg. ἢ καὶ.

v. 80. ὕβριν δὲ θυμῷ] ex Jacobſii emendatione. Vulg. ὕβριν δ' ἑτοίμως. Arnaldus pro ἑτοίμως legit ἐτύμως. Abreſchius malebat ὕβριν δέ τοι 'μως pro ὅμως. — στυγοῦντες] στυγόντες Ald. Rob. In fine hujus verſiculi particulam quandam, ut εὖ vel οὖν, excidiſſe Heathius exiſtimat. Fruſtra.

v. 82. κἀκ πτολέμου] κακοπτολέμου Ald. Turn.

v. 83. βωμὸς φυγάσιν] Vulg. βωμὸς Ἄρης φυγάσι.

φρῆς

στρ. δ΄. Εὐθύνη Διὸς εὖ παναληθής.
Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη,
Πάντᾳ τοι φλεγέθει, κᾀν
Σκότῳ, μελαίνᾳ ξὺν τύχᾳ
Μερόπεσσι λαοῖς.
ἀντιστρ. δ΄. Πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ,
Κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
Δαυλοὶ γὰρ πραπίδων δά-
σκιοί τε τείνουσιν πόροι
Κατιδεῖν ἄφραστοι.
στρ. ε΄. Ἰάπτει δ' ἀπίδων
Ἀφ' ὑψιπύργων πανώλεις
Βροτούς, βίαν
Δ' οὔτις ἐξώπλιζε
Πανάποινον δαιμονίων·
Ἥμενον ἄνω φρόνημά πως

VARIETAS LECTIONIS.

ἀρῆς Turn. ἄτης olim hic lectum fuiſſe intelligitur a priore Scholiaſtae explicatione, qui interpretatur βλάβης. Heathius ab Aeſchylo ſcriptum eſſe opinatur Ἀρηφυγάσι, hac nimirum ſententia: *eſt autem et bello oppreſſis pugnamque detrectantibus altare praeſidium, numnum ſcil. reverentia.*

v 85. εὐθύνη Διὸς εὖ παναληθής] Ita correxi vulg. εἰ θείη Διὸς εὖ παναληθῶς.

v. 88. μελαίνᾳ] μέλαινα Rob. μέλαιναι vulg. ξὺν τύχᾳ] Ita correxi vulg. ξυντυχίαι. In Ald. eſt ξύν τύχαι. In Rob. ξυντύχα.

v. 90. ἀσφαλὲς] Sic Ald. Rob. Vulg. ἀσφαλῶς.

v. 95. ἀπίδων] ex elegantiſſima Hermanni correctione. Vulg. ἀπιδών.

v. 98. οὔτις] οὔτιν' Ald. Rob. Turn. ἐξώπλιζε] Ita correxi vùlg. ἐξοπλίζει.

v. 99. πανάποινον] Sic reſcripſi pro vulg. τὰν ἄποινον.

Αὐτόθεν ἐξέπραξεν ἔμπας
Ἑδράνων ἐφ' ἁγνῶν.
ἀντιστρ. ε΄. Ἰδέσθω δ' ἐς ὕβριν,
Βρότειος οἵᾳ νεάζει
Πυθμὴν, δι' ἁ-
μὸν γάμον τοι θάλπος
Δυσπαραβούλοισι φρεσὶ,
Καὶ διάνοιάν γε μαινόλιν
Κέντρον ἔχων ἄφυκτον, ἄταν
Δ' ἀπάτᾳ μεταγνούς.
στρ. ς΄. Τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω
Λιγέα βαρέα δακρυοπετῆ,
Ἰή, ἰή,
Ἰηλέμοισιν ἀμπρεπῆ·
Ζῶσα γόοις με τιμῶ.
Ἱλέομαι μὲν Ἀπίαν βοῦνιν,

Κάρ-

VARIETAS LECTIONIS.

v. 104. βρότειος] Vulg. βρότειον. οἵᾳ] In edd. est οἷα. Pauwius malebat metri causa οἷον. Idem efficitur scribendo οἵᾳ, quod sensui melius convenit.

v. 106. τοι θάλπος] Ita rescribendum duxi. Vulg. τὸ θάλος, nullo sensu idoneo.

v. 108. καὶ διάνοιαν γε μαινόλιν] Heathio auctore γε inseruimus.

v. 109. ἄταν] Sic Ald. Rob. Turn. ἄταν ἐπ' ἄτᾳ conj. Stanl. id. Aurat. e MSS.

v. 111. θρεομένα λέγω] θρεβομία λεγῶν mendose scribitur Ald.

v. 114. ἀμπρεπῆ] ἐμπρεπῆ Ald. Turn. Vict. Post hunc versiculum vulgo additur hic: θρεομένη μέλη, quem utpote interpolatum delevi.

v. 115. με τιμῶ] Sic Ald. με τιμῶν Rob. μεθ' ἡμῶν Turn. με τιμᾷ edd. cett. μέτειμι conj. Canter.

Κάρβανον δ' αὐδάν,
Εὖα, κονοῖς.
Πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι
Λίνοισιν, ἢ
Σιδονίᾳ καλύπτρᾳ.

ἀντιστρ. ϛʹ. Θεοῖς δ' ἐναγέα τέλεα, πελομένων καλῶς,
Ἐπιδρομοῦσ', ὅθι θάνατος ἀπῇ.
Ἰώ, ἰώ.
Ἰὼ δυςάγκριτοι πόνοι.
Ποῖ τόδε κῦμ' ἀπάξει;
Ἱλέομαι μὲν Ἀπίαν βοῦνιν
Κάρβανον δ' αὐδάν,
Εὖα, κονοῖς.
Πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι
Λίνοισιν, ἢ
Σιδονίᾳ καλύπτρᾳ.

Πλάτα

VARIETAS LECTIONIS.

v. 117. κάρβανον] Vulg. καρβάνα.

v. 119. εὖα, κονοῖς] εὐακοινεῖς Ald. Vulg. εὐακοεῖς.

v. 121. καλύπτρᾳ] καλύστρα Ald.

v. 122. πελομένων] πελομιῶν corrupte Ald. πολεμίων Turneb. πελάνων MS. Aurat.

v. 123. ἐπιδρομοῦσ', ὅθι] ἐπιδρόμω πόθι Ald. Turn. Vulg. ἐπιδρομῶσ'. Praetuli autem indicativi formam, quia Schol. interpr. ἐπιτρέχουσιν.

v. 126. κῦμ' ἀπάξει] κῦμα πατάξει Rob.

v. 127. ἱλέομαι] ἱλέωμαι Rob.

v. 129. εὖα, κονοῖς] Ald. ἐνγαγρόνοις corrupte. MS. Reg. teſte Spanh. εὐγακοννις.

στρ. ζ. Πλάτα μὲν οὖν λινοῤῥαφής τε
Δόμος, ἄλα στέγων, δορὸς
Ἀχείματον μ' ἔπεμψε σὺν πνοαῖς.
Οὐδὲ μέμφομαι τελευτᾶς·
Ἐν δὲ χρόνῳ πατὴρ ὁ παντόπτας
Πρευμενὴς κτίσειε
Σπέρμα σεμνᾶς μεγαλοματρὸς
Εὐνὰς ἀνδρῶν, ἒ, ἒ,
Ἄγαμον ἀδάμαντον ἐκφυγεῖν.
ἀντιστρ. ζ. Θέλουσα δ' αὖ θέλουσαν ἁγνὰ
Μ' ἐπιδέτω Διὸς κόρα,
Ἔχουσα σέμν' ἐνώπι' ἀσφαλές·
Παντὶ δὲ σθένει διωγμοῖς

Ἀσφα-

VARIETAS LECTIONIS.

v. 133. λινοῤῥαφὴς] λινοῤῥαφὶς Turn.

v. 135. ἀχείματον — πνοαῖς] ἀχίματόν μ' ἔπεμπε ἂν πνοιαῖς Ald. ἀχίματόν μ' ἔπεμπε συμπνοαῖς Rob. ἀχείματόν μ' ἔπεμπε ἂν πνοαῖς Turn. Stanlejus ita diſtinguendum arbitratur: ἅλα στέγων δορὸς ἀχείματον —.

v. 137. ἐν δὲ χρόνῳ] Sic Ald. δ' ἐν χρόνῳ Vict.

v. 139. μεγαλοματρὸς] μέγα ματρὸς vulg.

v. 142. θέλουσα — ἁγνὰ] θέλουσαν δ' οὖν θέλουσαν ἁγμὰ Ald. θέλουσαν δ' οὖν, θέλουσαν ἁγνὰν Turn.

v. 144. ἔχουσα σέμν' ἐνώπι'] ἔχουσα μ' ἐπ' ὠπὶ Turneb. ἀσφαλὲς] Heath. mavult ἀσφαλίσασ'.

v. 145. παντὶ δὲ σθένει] e Cant. emendatione. Vulg. πάντὶ δὲ σθένουσι. σθένουσα Turn. πάντα δὲ σθένουσι διωγμοῖσι δι' ἀσφαλείας em. Stanl. Metrum v. 145 ſqq. conſtituit Heathius:

Πάντι δὲ σθένει διωγμοῖς
trochaic. dim. acatal.
Ἀσφαλίσασ' ἀδμήτας ἀδμήτα
choriamb. dim. acatal.
Ῥύσιος γενέσθω.

διωγμοῖς] διωγμοῖσιν Robort. διωγμοῖσι δ' Vulg.

Ἀσφαλίσασ' ἀδμήτας ἀδμήτα
'Ρύσιος γενέσθω.
Σπέρμα σεμνᾶς μεγαλομάτρος
Εὐνὰς ἀνδρῶν, ἒ, ἔ,
Ἄγαμον ἀδάμαντον ἐκφυγεῖν.
στρ. η'. Εἰ δὲ μὴ, μελανθὲς
Ἡ, διόκτυπον γένος
Τρῦγγαιον
Τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων
Ἱξόμεσθα σύν κλάδοις,
Ἀρτάναις θάνουσαι,
Μὴ τύχουσαι θεῶν ὀλυμπίων.
Ὦ Ζεῦ, Ἰοῦς ἰὼ
Μῆνις μάστειρ' ἐκ θεῶν,
Κοννῶ δ' ἄταν
Γαμετᾶς οὐρανόνικον.
Χαλεποῦ γὰρ ἐκ
Πνεύματος εἶσι χειμών.
ἀντιστρ. η'. Καὶ τότ' οὐ δικαίοις
Ζεὺς ἐνέξεται λόγοις,

Τὸν

VARIETAS LECTIONIS.

v. 146. ἀφαλίσασ'] Vulg. ἀσφαλίας. Rob. ἀσφαλές.

v. 152. Legendum ἢ pro ἤ vidit Heath.

v. 153. τοῦγγαιον] τόνταιον Ald. τὸν γάγον Rob. τουγγάϊον scribendum per diaeresin *Pauw. Heath.*

v. 159. ὦ Ζεῦ Ἰοῦς ἰὼ] ἀζηνιούσίω ingenti corruptela Ald. ὦ Ζεῦ ἰοῦσα Turn.

v. 161. κοννῶ] Vulg. κοινῶ.

v. 162. οὐρανόνικον] οὐρανονίκου Turn.

v. 166. ἐνέξεται] Vulg. ἐντεύξεται. Turn. ἀνέξεται.

Τὸν τᾶς βοὸς
Παῖδ' ἀτιμάσας, τὸν αὐ-
τὸς ποτ' ἔκτισεν γόνῳ,
Νῦν ἔχων παλίντροπον
Ὄψιν ἐν λιταῖσιν,
Ὑψόθεν δ' οὐ κλύων καλούμενος.
Ὦ Ζεῦ, Ἰοῦς ἰὼ
Μῆνις μάστειρ' ἐκ θεῶν,
Κοννῶ δ' ἄταν
Γαμετᾶς οὐρανόνικον.
Χαλεποῦ γὰρ ἐκ
Πνεύματος εἶσι χειμών.

ΧΟΡΟΣ. ΔΑΝΑΟΣ.

ΔΑΝΑΟΣ.

Παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ' ἵκετε
Πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
Καὶ τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν
Αἰνῶ, φυλάξαι τἄμ' ἔπη δελτουμένας.
Ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ·
Σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι,
Ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον

Λεύσσω,

VARIETAS LECTIONIS.

v. 170. νῦν ἔχων] Heathius mavult νῦν τ' ἔχων.

v. 172. οὐ κλύων καλούμενος] Vulg. εὖ κλύοι καλούμενος.

v. 182. τἄμ' ἔπη] Heathius conj. θ' ἅμ' ἔπη. δελτουμένας] δελτούμενα conj. Stanl.

Λεύσσω, ξὺν ἵπποις, καμπύλοις τ' ὀχήμασι.
Τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
Ὀπτῆρες εἶεν, ἀγγέλων πεπυσμένοι.
Ἀλλ' εἴτ' ἀπήμων, εἴτε καὶ τεθυμένος,
Ὠμῇ ξὺν ὀργῇ, τόνδ' ἐπόρνυται στόλον,
Ἄμεινόν ἐστι παντὸς οὕνεκ', ὦ κόραι,
Πάγῳ προσίζειν τῶνδ' ἀγωνίων θεῶν.
Κρείσσων δὲ πύργου βωμός, ἄῤῥηκτον σάκος.
Ἀλλ' ὡς τάχιστα βᾶτε καὶ λευκοστεφεῖς
Ἱκτηρίας, ἀγάλματ' αἰδοίου Διός,
Σεμνῶς ἔχουσαι διὰ χερῶν συνωνύμων,
Αἰδοῖα καὶ γοεδνὰ κοὐκ ἀχρεῖ' ἔπη
Ξένους ἀμείβεσθ', ὡς ἐπήλυδας πρέπει,
Τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγάς.
Φθογγῆς δ' ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ,
Τὸ μὴ μάταιον δ' ἐκ μετώπων σωφρόνων
Ἴτω πρόσωπον ὄμματος παρ' ἡσύχου.

Καὶ

VARIETAS LECTIONIS.

v. 189. τεθυμένος] τεθειμένος Ald. Rob.

v. 190. τόνδ'] τόνδε Rob.

v. 191. οὕνεκ'] Atticam formam, Heathio monente praetuli. Vulg. εἵνεκα.

v. 192. πάγῳ] Ita Spanhem. Vulg. πάγον. Rob. πάγου. τῶνδ'] τόνδ' Turn.

v. 193. κρείσσων] Sic MS. Reg. Spanh. Vulg. κρεῖσσον. Aurat. e MSS. κρεῖσσον δὲ πύργου βωμὸς ἀῤῥήκτου σάκος.

v. 196. συνωνύμων] εὐωνύμων Schol. legiſſe videtur.

v. 197. κοὐκ ἀχρεῖ'] Vulg. τὰ χρεῖ'.

v. 200. φθογγῆς] Vulg. φθογγῇ. τὸ μὴ θρασύ] τὸ μὴ 'θρόα Turn. Heath. conj. φθογγῆς ἑπέσθω πρῶτα μὲν τὸ μὴ 'θρόον.

v. 202. πρόσωπον] προσώπων Rob.

Τὸν τᾶς βοὸς
Παῖδ' ἀτιμάσας, τὸν αὐ-
τὸς ποτ' ἔκτισεν γόνῳ,
Νῦν ἔχων παλίντροπον
Ὄψιν ἐν λιταῖσιν,
Ὑψόθεν δ' οὐ κλύων καλούμενος.
Ὦ Ζεῦ, Ἰοῦς ἰὼ
Μῆνις μάστειρ' ἐκ θεῶν,
Κοννῶ δ' ἄταν
Γαμετᾶς οὐρανόνικον.
Χαλεποῦ γὰρ ἐκ
Πνεύματος εἶσι χειμών.

ΧΟΡΟΣ. ΔΑΝΑΟΣ.

ΔΑΝΑΟΣ.

Παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ' ἵκετε
Πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
Καὶ τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν
Αἰνῶ, φυλάξαι τἄμ' ἔπη δελτουμένας.
Ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ·
Σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι,
Ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον

Λεύσσω,

VARIETAS LECTIONIS.

v. 170. νῦν ἔχων] Heathius mavult νῦν τ' ἔχων.

v. 172. οὐ κλύων καλούμενος] Vulg. εὖ κλύοι καλούμενος.

v. 182. τἄμ' ἔπη] Heathius conj. θ' ἅμ' ἔπη. δελτουμένας] δελτούμενα conj. Stanl.

Λεύσσω, ξὺν ἵπποις, καμπύλοις τ' ὀχήμασι.
Τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
Ὀπτῆρες εἶεν, ἀγγέλων πεπυσμένοι.
Ἀλλ' εἴτ' ἀπήμων, εἴτε καὶ τεθυμένος,
Ὠμῇ ξὺν ὀργῇ, τόνδ' ἐπόρνυται στόλον,
Ἄμεινόν ἐστι παντὸς οὕνεκ', ὦ κόραι,
Πάγῳ προσίζειν τῶνδ' ἀγωνίων θεῶν.
Κρείσσων δὲ πύργου βωμός, ἄῤῥηκτον σάκος.
Ἀλλ' ὡς τάχιστα βᾶτε καὶ λευκοστεφεῖς
Ἱκτηρίας, ἀγάλματ' αἰδοίου Διός,
Σεμνῶς ἔχουσαι διὰ χερῶν συνωνύμων,
Αἰδοῖα καὶ γοεδνὰ κοὐκ ἀχρεῖ' ἔπη
Ξένους ἀμείβεσθ', ὡς ἐπήλυδας πρέπει,
Τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγάς.
Φθογγῆς δ' ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ,
Τὸ μὴ μάταιον δ' ἐκ μετώπων σωφρόνων
Ἴτω πρόςωπον ὄμματος παρ' ἡσύχου.

Καὶ

VARIETAS LECTIONIS.

v. 189. τεθυμένος] τεθειμένος Ald. Rob.

v. 190. τόνδ'] τόνδε Rob.

v. 191. οὕνεκ'] Atticam formam, Heathio monente praetuli. Vulg. εἵνεκα.

v. 192. πάγῳ] Ita Spanhem. Vulg. πάγον. Rob. πάγου. τῶνδ'] τόνδ' Turn.

v. 193. κρείσσων] Sic MS. Reg. Spanh. Vulg. κρεῖσσον. Aurat. e MSS. κρεῖσσον δὲ πύργου βωμὸς ἀῤῥήκτου σάκος.

v. 196. συνωνύμων] εὐωνύμων Schol. legisse videtur.

v. 197. κοὐκ ἀχρεῖ'] Vulg. τὰ χρεῖ'.

v. 200. φθογγῆς] Vulg. φθογγῇ. τὸ μὴ θρασύ] τὸ μὴ θρόα Turn. Heath. conj. φθογγῆς ἑπέσθω πρῶτα μὲν τὸ μὴ 'θρόον.

v. 202. πρόςωπον] προσώπων Rob.

Καὶ μὴ πρόλεσχος, μηδ' ἐφολκὸς ἐν λόγῳ
Γένῃ· τὸ τῇδε κάρτ' ἐπίφθονον γένος.
Μέμνησο δ' εἴκειν· χρεῖος εἶ ξένη φυγάς.
Θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.

ΧΟΡΟΣ.

Πάτερ, φρονούντως πρὸς φρονοῦσας ἐννέπεις.
Φυλάξομεν δὲ τάσδε μνησθεῖσαι σέθεν
Κεδνὰς ἐφετμάς· Ζεὺς δὲ γεννήτωρ ἴδοι.

ΔΑΝΑΟΣ.

Μὴ νῦν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος.

ΧΟΡΟΣ.

Θέλοιμ' ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν.

ΔΑΝΑΟΣ.

Ὦ Ζεῦ, κόπων οἴκτειρε μὴ 'πολωλότας.

ΧΟΡΟΣ.

Ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος.
Κείνου θελόντος εὖ τελευτήσει τάδε.

ΔΑΝΑΟΣ.

Καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε.

ΧΟΡΟΣ.

VARIETAS LECTIONIS.

v. 203. ἐφολκὸς] ἀφελκὸς Rob.

v. 205. εἴκειν· χρεῖος] εἴκειν χρεῖος Rob. puncti signo post χρεῖος posito.

v. 208. Φυλάξομεν] Φυλάξομαι Rob. μνησθεῖσαι] Sic MS. Aurati. Vulg. μεμνῆσθαι.

v. 210. κράτος] Heathius hoc modo corrigendum esse autumat:

μὴ νῦν σχόλαζε, μὴ κάμῃς δ' ἐς τὸ κράτος.

ΧΟΡΟΣ.

Καλοῦμεν αὐγὰς Ἡλίου σωτηρίους,
Ἁγνόν τ' Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεόν.
Εἰδὼς ἂν αἶσαν τήνδε συγγνῴη βροτοῖς.

ΔΑΝΑΟΣ.

Συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.

ΧΟΡΟΣ.

Τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;

ΔΑΝΑΟΣ.

Ὁρῶ τρίαιναν τήνδε, σημεῖον θεοῦ.

ΧΟΡΟΣ.

Ἀλλ' εὖ τ' ἔπεμψεν, εὖ τε δεξάσθω χθονί.

ΔΑΝΑΟΣ.

Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.

ΧΟΡΟΣ.

Ἐλευθέριος οὖν ἐσθλὰ κηρυκευέτω.

ΔΑΝΑΟΣ.

Πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
Σέβεσθε· χ' ἁγνὸς ἑσμὸς ὡς πελειάδων,
Ἵζεσθε, κίρκων τῶν ὁμοπτερῶν φόβῳ,
Ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.

Ὀρνι-

VARIETAS LECTIONIS.

v. 218. εἰδὼς] Sic MS. Reg. notante Spanhemio. Vulg. ἰδών.

v. 224. ἐλευθέριος οὖν] Vulg. ἐλευθέροις νῦν.

v. 226. χ' ἁγνὸς ἑσμὸς ὡς] Sic Aurat. e MSS. Edd. ἐν ἁγνῷ δεσμὸς ὡς. Stanl. em. κἁγνὸς ἑσμὸς ὡς.

Ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
Πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα
Ἁγνὸς γένοιτ' ἄν; οὐδὲ κἂν ᾅδου θανὼν
Φύγῃ ματαιῶν αἰτίας πράξας τάδε.
Κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος,
Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
Σκοπεῖτε, κἀμείβεσθε τόνδε τὸν τρόπον,
Ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.

ΒΑΣΙΛΕΥΣ ΑΡΓΕΙΩΝ. ΔΑΝΑΟΣ. ΧΟΡΟΣ.

ΒΑΣΙΛΕΥΣ.

Ποδαπὸν ὅμιλον τόνδ' ἀνέλληνα στόλον
Πέπλοισι βαρβάροισι καὶ πυκνώμασι
Χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
Ἐσθὴς γυναικῶν, οὐδ' ἀφ' Ἑλλάδος τόπων.
Ὅπως δὲ χώραν οὐδὲ κηρύκων ὕπο
Ἀπρόξενοί τε, νόσφιν ἡγητῶν, μολεῖν
Ἔτλητ' ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.

Κλά-

VARIETAS LECTIONIS.

v. 229. ἂν ἁγνεύοι] ἀναινεύοι Ald. ἀνανεύοι Rob.

v. 231. κἂν] Sic Aurat. e MSS. Vulg. μὴ 'ν. Aldin. Robort. μὴν.

v. 232. Φύγῃ] Φύγη Ald. Rob. ματαιῶν] Vulg. μάταιον.

v. 233. τἀμπλακήμαθ', ὡς] τἀπλὰ ἐγμάβας mira corruptione Ald. τα πλα ἐν μαβ ὡς Rob. ταπλάκημα βὰς Turn.

v. 235. τρόπον] ex emend. Stanl. Vulgo τόπον.

v. 239. προσφωνοῦμεν· οὐ] προσφωνουμένου Ald.

Κλάδοι γε μὲν δὴ, κατὰ νόμους ἀφικτόρων,
Κεῖνται παρ᾽ ὑμῶν πρὸς θεοῖς ἀγωνίοις·
Μόνον τόδ᾽ Ἑλλὰς χθὼν ξυνοίσεται στόχῳ,
Καὶ τἄλλα πόλλ᾽ ἐπεικάσαι δίκαιον ἦν,
Εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.

ΧΟΡΟΣ.

Εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον.
Ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω,
Ἢ τηρὸν ἱεροῦ ῥάβδον, ἢ πόλεως ἀγόν;

ΒΑΣΙΛΕΥΣ.

Πρὸς ταῦτ᾽ ἀμείβου, καὶ λέγ᾽ εὐθαρσῶς ἐμοί.
Τοῦ γηγενοῦς γάρ εἰμ᾽ ἐγὼ Παλαίχθονος
Ἶνις Πελασγός, τῆσδε γῆς ἀρχηγέτης.
Ἐμοῦ δ᾽ ἄνακτος εὐλόγως ἐπώνυμον
Γένος Πελασγῶν τήνδε καρποῦται χθόνα,
Καὶ πᾶσαν αἶαν, ἧς δι᾽ Ἄλγος ἔρχεται,
Στρυμών τε, πρὸς δύνοντος ἡλίου κρατῶ.
Ὁρίζομαι δὲ τήν τε Περῥαίβων χθόνα,
Πίνδου τε τἀπέκεινα, Παιόνων πέλας,
Ὄρη τε Δωδωναῖα· συντέμνει δ᾽ ὅρος

VARIETAS LECTIONIS.

v. 245. παρ᾽ ὑμῶν] Ita Spanh. e MSS. Vulg. παρ᾽ ὑμῖν.

v. 247. πόλλ᾽] πολὺ Ald.

v. 251. ἱεροῦ] κέρου Ald. Rob. Pauwius corrigere audet ἢ ῥητὸν ἕρκους ῥάβδον. Heath. vero conj. ἢ ᾽ταιρον ἱεροῦ ῥάβδον.

v. 252. καὶ λέγετ᾽ εὐθαρσεῖς ἐμοί. Ald.

v. 254. Πελασγὸς] ex emendat. Cant. Vulg. Πελασγοῦ.

v. 257. αἶαν, ἧς] αἴδνης Ald. Rob. Ἄλγος] Ἄξιος vel Ἄψος legendum *Stanl.*

v. 259. τήν τε] Sic recte emendandum esse vidit Pauwius. In edd. τήνδε.

Ὑγρᾶς θαλάσσης· τῶνδε κἄπειτα κρατῶ.
Αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε
Πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν.
Χώρας γὰρ ἐλθὼν Ἄπις ἐκ Ναυπακτίας
Ἰατρόμαντις παῖς Ἀπόλλωνος, χθόνα
Τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων,
Τὰ δὴ παλαιῶν αἱμάτων μιάσμασι
Χρανθεῖσ' ἀνῆκε γαῖα μήνη καὶ δάκη,
Δρακονθ' ὅμιλον, δυςμενῆ ξυνοικίαν.
Τούτων ἄκη τομαῖα καὶ λυτήρια
Πράξας ἀμέμπτως Ἄπις Ἀργείᾳ χθονὶ
Μνήμην ποτ' ἀντίμισθον εὗρετ' ἐν λιταῖς.
Ἔχουσ' ἂν ἤδη τἀπ' ἐμοῦ τεκμήρια
Γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω·
Μακράν γε μὴν δὴ ῥῆσιν οὐ στέργει πόλις.

ΧΟΡΟΣ.

VARIETAS LECTIONIS.

v. 262. τῶνδε κἄπειτα] τῶν δ' ἔτ' ἐπὶ τάδε Turn. τῶνδε τ' ἄπειτα δὲ Rob. Vict. τῶνδε τἀπὶ τάδε Cant. κἀπὶ τάδε Stanl. τῶνδ' ἔσ' ἔπειτα κρατῶ Ald. Spanh. e MS. Reg., in quo latet id, quod recepimus, τῶνδε κἄπειτα κρατῶ.

v. 265. χώρας — Ἄπις ἐκ] Restituimus veram ed. Turnebianae lectionem. Ἄπις γὰρ ἐλθὼν ἐκ χώρας Ald. In reliquis est Ἄπις γὰρ ἐλθὼν ἐκ πέρας.

v. 267. δ' ἐκκαθαίρει] δὲ καθαίρει Ald. τηνδὶ καθαίρει Turn.

v. 269. μήνη καὶ δάκη] μηνεῖτα ἄκη, Ald. Rob. Pauwius conj. μήνει τ' αἰανεῖ. Heath. γηγενῆ δάκη.

v. 272. ἀμέμπτως Ἄπις] μεμπτῶς ἐπεισ' Ald.

v. 273. ποτ' ἀντίμισθον] πονταν τινεῖσθαι Ald. ποντάτινεσθον Rob.

v. 274. ἔχουσ' ἂν] ἔχουσαν Turn.

v. 275. λέγοις πρόσω] λέγοι πρόσως Ald. Totus versiculus ita scriptus in Turn.: Γένοιτ' ἂν ἐξεύχθοιο καὶ λέγοι πρόσως.

ΧΟΡΟΣ.

Βραχὺς τορός θ' ὁ μῦθος. Ἀργεῖαι γένος
Ἐξευχόμεσθα, σπέρματ' εὐτέκνου βοός·
Καὶ ταῦτ' ἀληθῆ παντὶ προςφύσω λόγῳ.

ΒΑΣΙΛΕΥΣ.

Ἄπιστα μυθεῖσθ', ὦ ξέναι, κλύειν ἐμοί,
Ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος.
Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι
Γυναιξίν ἐστε, κοὐδαμῶς ἐγχωρίαις.
Καὶ Νεῖλος ἂν θρέψειε τοιοῦτον φυτόν,
Κύπριος χαρακτήρ τ' ἐν γυναικείοις τύποις
Εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων·
Ἰνδούς τ' ἀκούω νομάδας ἱπποβάμοσιν
Εἶναι καμήλοις ἀστραβιζούσας, χθόνα
Παρ' Αἰθίοψιν ἀστυγειτονουμένας.
Καὶ τὰς ἀνάνδρους κρεοβότους δ' Ἀμαζόνας,
Εἰ τοξοτευχεῖς ἦτε, κάρτ' ἂν ἤκασα

VARIETAS LECTIONIS.

v. 277. βραχὺς τορός θ'] βραχύστορος θ' Ald. Rob.

v. 279. παντὶ] Vulg. πάντα. προςφύσω] προςφήσω Rob. Heathius conj. προςθήσω. Frustra.

v. 283. γυναιξίν ἐστε] γυναιξὶ δ' ἐστὲ Ald. Rob.

v. 285. Κύπριος] Pauwius mavult Κυταῖος.

v. 286. εἰκὼς] εἰκὸς Ald. Turn.

v. 288. ἀστραβιζούσας] Ita emendandum censuit Stanl. Recte. In edd. est ἀστραβιζούσαις.

v. 290. κρεοβότους] Vulgo κρεοβρότους. Sed Stanleji lectionem conjectura indagatam, quam et Heathius probat, praetulimus.

v. 291. εἰ τοξοτευχεῖς] εἴτ' ὀξυτευχεῖς Ald.

Ὑμᾶς. Διδαχθεὶς ἂν τόδ' εἰδείην πλέον,
Ὅπως γένεθλον σπέρμα τ' Ἀργεῖον τὸ σόν.

ΧΟΡΟΣ.

Κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ
Ἰὼ γενέσθαι τῆδ' ἐν Ἀργείᾳ χθονί,
Ἦν, ὡς μάλιστα καὶ φάτις πολλὴ κρατεῖ.
* * * * * * * * * * * *

ΒΑΣΙΛΕΥΣ.

Μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ;

ΧΟΡΟΣ.

Καὶ κρυβδά γ' Ἥρας ταῦτα τῶν παλλαγμάτων.

ΒΑΣΙΛΕΥΣ.

Πῶς οὖν τελευτᾷ βασιλέων νείκη τάδε;

ΧΟΡΟΣ.

Βοῦν τὴν γυναῖκ' ἔθηκεν Ἀργεία θεός.

ΒΑΣΙ-

VARIETAS LECTIONIS.

v. 295. τῆδ' ἐν] τῇ ἰδεῖν Ald. Stanl. legendum censet: Ἰὼ μιγέσθαι τῆδ' ἐν Ἀργείᾳ χθονί, Ζῆν', ὡς μάλιστα etc. Sed ne hoc admittamus, sequentia prohibent. Itaque verisimilius est, post versum 308. excidisse versiculum hac fere sententia, *quam — Jupiter ardenti amore complexus est.*

v. 299. καὶ κρύβδα γ' Ἥρας] καὶ κρύπτ' ἄγκρας Ald. Pro καὶ Stanl. putabat reponendum κοὐ. Falso. Sed recte divinavit pro vulg. κρυπτὰ rescribendum κρύβδα. τῶν παλλαγμάτων] παλλακισμάτων Rob. παλαισμάτων conj. Stanl.

v. 301. Βοῦν τὴν] Sic optime Canterus in notis. Vulgo Βούτην.

ΒΑΣΙΛΕΥΣ.

Οὔκουν πελάζει Ζεὺς ἐπ' εὐκραίρῳ βοΐ;

ΧΟΡΟΣ.

Φασὶ πρέποντα βουθόρῳ ταύρῳ δέμας.

ΒΑΣΙΛΕΥΣ.

Τί δῆτα πρὸς ταῦτ' ἄλοχος ἰσχυρὰ Διός;

ΧΟΡΟΣ.

Τὸν πάνθ' ὁρῶντα φύλακ' ἐπέστησεν βοΐ.

ΒΑΣΙΛΕΥΣ.

Ποῖον πανόπτην οἰοβουκόλον λέγεις;

ΧΟΡΟΣ.

Ἄργον, τὸν Ἑρμῆς παῖδα γῆς κατέκτανε.

ΒΑΣΙΛΕΥΣ.

Τί οὖν ἔτευξεν ἄλλο δυςπότμῳ βοΐ;

ΧΟΡΟΣ.

Βοηλάτην μύωπα, κινητήριον,
Οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας.
Τοιγάρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ.

ΒΑΣΙΛΕΥΣ.

Καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοί.

VARIETAS LECTIONIS.

v. 303. φασὶ πρέποντα] φασὶν πρέποντας Ald. φασὶ πρέποντα Turn. φασὶ τρέποντα cett. edd.

v. 304. ἰσχυρὰ] Vulg. ὀχυρα. Stanlejus conj. ὀχληρά. Sed ἰσχυρὰ jam Robortellus in codd. reperit; idque est aptissimum.

v. 310. πέλας] παῖδες Rob. et sic MS. Reg. Spanh.

v. 312. πάντα συγκόλλως] πάνυ συγκόλως Rob.

ΧΟΡΟΣ.

Καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο·
Καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον.

ΒΑΣΙΛΕΥΣ.

Τίς οὖν ὁ δῖος πόρτις εὔχεται βοός;

ΧΟΡΟΣ.

Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος.

ΒΑΣΙΛΕΥΣ.

* * * * * * * * * * οὗ

ΧΟΡΟΣ.

Λιβύη μεγίστης ὄνομα γῆς καρπουμένη.

ΒΑΣΙΛΕΥΣ.

Τίν' οὖν ἔτ' ἄλλον τῆσδε βλάστημον λέγεις;

ΧΟΡΟΣ.

Βῆλον δίπαιδα, πατέρα τοῦγ' ἐμοῦ πατρός.

ΒΑΣΙ.

VARIETAS LECTIONIS.

v. 314. φιτύει] Vulg. φυτεύει.

v. 315. τίς οὖν] Sic recte Stanl. emendandum censuit. Vulg. τί οὖν.

v. 318. Λιβύη — καρπουμένη] Λιβύη μέγιστον γῆς καρπουμένη Ald. οὗ Λιβύη μέγιστον γῆς καρπουμένη Rob. οὗ τε Λιβύη μέγιστα γῆς καρπουμένη conj. Pauw. οὗ καὶ Λιβύη μέγιστα γῆς καρπουμένη Heath. Lectio a nobis nunc recepta editori Glasg. debetur. Nempe post v. 316. excidit, ut jam Stanlejus vidit, versiculus, in quo rex quaesiverat, quae fuerit Epaphi proles.

v. 320. πατέρα] πατρὸς Ald. τοῦγ'] Vulgo τοῦδ'.

ΒΑΣΙΛΕΥΣ.

Τὸ πᾶν σαφῶς νῦν ὄνομα τοῦτου μοι φράσον.

ΧΟΡΟΣ.

Δαναός· ἀδελφὸς δ' ἐστὶ πεντηκοντοπαῖς.

ΒΑΣΙΛΕΥΣ.

Καὶ τοῦδ' ἄνοιγε τοὔνομ' ἐμφανεῖ λόγῳ.

ΧΟΡΟΣ.

Αἴγυπτος. Εἰδὼς δ' ἁμὸν ἀρχαῖον γένος
Πράσσοις ἂν ὡς Ἀργεῖον ἀνστήσῃς στόλον.

ΒΑΣΙΛΕΥΣ.

Δοκεῖτε δή μοι τῆσδε κοινωνεῖν χθονὸς
Τἀρχαῖον· ἀλλὰ πῶς πατρῷα δώματα
Λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;

ΧΟΡΟΣ.

Ἄναξ Πελασγῶν, αἰόλ' ἀνθρώπων κακά.
Πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταυτὸν πτερόν.
Ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγήν,
Κέλσειν μ' ἐς Ἄργος, κῆδος ἐγγενὲς τὸ πρίν,
Ἔχθει μεταπτοιοῦσαν εὐναίων γάμων;

ΒΑΣΙΛΕΥΣ.

Τί φὴς ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν,
Λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους;

VARIETAS LECTIONIS.

v. 321. Vulgo τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον.

v. 323. καὶ τοῦδ' ἄνοιγε] Optime sic ed. Glasg. Vulgo καὶ τοῦ γε Δαναοῦ, et hic versus Choro assignatus. ἐμφανεῖ] Vulg. εὐφώνῳ.

v. 330. πτερὸν] πότερον Ald.

v. 332. κέλσειν μ' ἐς] Vulg. κέλσειν ἐς. Deinde Ald. εὐγενὲς τὸ πρίν.

ΧΟΡΟΣ.

Ὡς μὴ γένωμαι δμωῒς Αἰγύπτου γένει.

ΒΑΣΙΛΕΥΣ.

Πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις;

ΧΟΡΟΣ.

Τίς δ' ἂν φίλους ὤνοιτο τοὺς κεκτημένους;

ΒΑΣΙΛΕΥΣ.

Σθένος μὲν οὕτω μεῖζον αὔξεται βροτοῖς.

ΧΟΡΟΣ.

Καὶ δυστυχούντων γ' εὐμαρὴς ἀπαλλαγή.

ΒΑΣΙΛΕΥΣ.

Πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω;

ΧΟΡΟΣ.

Αἰτοῦσι μὴ 'κδοὺς παισὶν Αἰγύπτου πάλιν.

ΒΑΣΙΛΕΥΣ.

Βαρέα σύ γ' εἶπας πόλεμον ἄρασθαι νέον.

ΧΟΡΟΣ.

Ἀλλ' ἡ δίκη γε ξυμμάχων ὑπερστατεῖ.

ΒΑΣΙΛΕΥΣ.

Εἴπερ γ' ἀπ' ἀρχῆς πραγμάτων κοινωνὸς ἦν.

ΧΟΡΟΣ.

Αἰδοῦ σὺ πρύμναν πόλεος ὧδ' ἐστεμμένην.

VARIETAS LECTIONIS.

v. 337. κατ' ἔχθραν] κατ' ἔχουσαν Ald.
v. 342. μὴ 'κδοὺς] Vulg. μὴ 'κδῷς.

ΒΑΣΙΛΕΥΣ.

Πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους.
Βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος.

ΧΟΡΟΣ.

στρ. α'. Παλαίχθονος τέκος, κλῦθί μου
Πρόφρονι καρδίᾳ, Πελασγῶν ἄναξ.
Ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον,
Λευκόστικτον ὡς δάμαλιν ἀμπέτραις
Ἠλιβάτοις, ἵν' ἀλκᾷ
Πίσυνος μέμυκε φράζου-
σα βοτῆρι μόχθους.

ΒΑΣΙΛΕΥΣ.

Ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον
Νέον θ' ὅμιλον τῶνδ' ἀγωνίων θεῶν.
Εἴη δ' ἄνατον πρᾶγμα τοῦτ' ἀστοξένων.
Μηδ' ἐξ ἀέλπτων κἀπρομυθήτων πόλει
Νεῖκος γένηται· τῶν γὰρ οὐ δεῖται πόλις.

VARIETAS LECTIONIS.

v. 351. ἴδε με τὰν ἱκέτιν] Vulgo ἴδε μέγαν ἱκέτην. Sed in Rob. est ἱκέτιν, unde recte Steph. emendandum censuit ἴδε με τὰν ἱκέτιν. Stanlej. malebat ἴδε με σὰν ἱκέτιν.

v. 352. λευκόστικτον] λευκόδικτον Ald. Turn. λευκόμικτον conj. Pauw.; omisso ὡς.

v. 353. ἠλιβάτοις ἵν' ἀλκᾷ] Sic recte Valkenaer ad Eurip. Phoeniss. v. 215. legendum conjecit. Vulg. ἠλιβάτοισιν ἀλκᾷ.

v. 359. κἀπρομυθήτων] κἀπρομηθήτων Ald. Rob.

ΧΟΡΟΣ.

ἀντιστρ. ά. Ἴδοιτο δῆτ' ἄνατον φυγὰν
Ἱκεσία Θέμις Διὸς κλαρίου.
Σὺ δὲ παρ' ὀψιγόνου μάθε γέρων ὤν·
Ποτιτρόπαιον αἰδόμενος, οὐκ ἀπορεῖς
* * * * * * *
Ἱεροδόκα θεῶν λήμ-
ματ' ἀπ' ἀνδρὸς ἁγνοῦ.

ΒΑΣΙΛΕΥΣ.

Οὔτοι κάθησθε δωμάτων ἐφέστιοι
Ἐμῶν· τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις,
Ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη.

Ἐγὼ

VARIETAS LECTIONIS.

v. 361. ἴδοιτο] ἴδοι Turn. δῆτ' ἄνατον] Sic Pauwius metri cauſa ſcribi juſſit, probante Heathio. Vulgo δῆτα τὰν ἄνατον.

v. 362. κλαρίου] ἱλαρίου Ald.

v. 363. γέρων ὤν] γεραφρόνων Ald. Rob. Pauwius metri cauſa reſcribendum putat: σὺ δὲ παρ' ὀψιγόνοιο μάθε γέρων ὤν. Heathius vero ſic: Σὺ δὲ παρ' ὀψιγόνου μάθε γέρων περ ὤν. ſyllabamque περ ſequenti verſiculo per incuriam librarii acceſſiſſe.

v. 364. ποτιτρόπαιον] ποτὶ τρόπαιον Ald. αἰδόμενος] αἰδούμενος Ald. Turn. οὐκ ἀπορεῖς] Vulg. οὔπερ. Ald. οὖνπερ.

v. 366. λήμματ'] λήματ' Rob. Canterus conjecerat verſiculum ſeptimum Antiſtrophae intercidiſſe. Sed potius quintum periiſſe, et verborum contextus et metrum ſeptimi ſtrophico ſeptimo conveniens demonſtrat.

v. 370. μελέσθω] μελέσθων Ald. ἐκπονεῖν] ἐκπνοεῖν Ald. Rob.

Ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος,
Ἢ πᾶσι γ' ἀστοῖς τῶνδε κοινώσας πέρι.

ΧΟΡΟΣ.

στρ. β'. Σύ τοι πόλις, σὺ δὲ τὸ δήμιον,
Πρύτανις ἄκριτος ὢν,
Κρατύνεις βωμὸν, ἑστίαν χθονὸς·
Μονοψήφοισι νεύμασι σέθεν,
Μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος
Πᾶν ἐπικραίνεις· ἄγος φυλάσσου.

ΒΑΣΙΛΕΥΣ.

Ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις·
Ὑμῖν δ' ἀρήγειν οὐκ ἔχω βλάβης ἄτερ·
Οὐδ' αὖ τόδ' εὔφρον τάσδ' ἀτιμάσαι λιτάς.
Ἀμηχανῶ δέ, καὶ φόβος μ' ἔχει φρένας
Δρᾶσαί τε, μὴ δρᾶσαί τε, καὶ τύχην ἑλεῖν.

ΧΟΡΟΣ.

ἀντιστρ. β'. Τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει
Φύλακα πολυπόνων
Βροτῶν, οἳ τοῖς πέλας προσήμενοι

Δίκας

VARIETAS LECTIONIS.

v. 371. πάρος] παρ' ἄκρος Ald.

v. 372. ἢ πᾶσι γ' ἀστοῖς] Vulgo ἀστῶν δὲ πᾶσι τοῖσδε. Jam Scaliger viderat τῶνδε legendum esse, Pauwius sic emendat: Ἀστῶν δὲ πᾶσι, vel ἀστῶν γε πᾶσι τῶνδε κοινῶσαι πέρι. Probat Heathius ultimum.

v. 376. νεύμασι] νεύμασιν rescribunt Pauw. et Heath.

v. 377. θρόνοις] χρόνοισι Ald. Turn. Vulgo θρόνοισι. Metri causa Pauwius scribere jussit θρόνοις, probante Heathio.

v. 383. τύχην] τυχεῖν Turn.

v. 384. ἐπισκόπει] ἐπισκοπεῖ Ald.

Δίκας οὐ τυγχάνουσιν ἐννόμου.
Μένει τοι Ζηνὸς Ἱκταίου κότος
Δυσπαράθελκτος παθόντος οἴκτοις.

ΒΑΣΙΛΕΥΣ.

Εἴ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν
Νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους
Εἶναι, τίς ἂν τοῖσδ᾽ ἀντιωθῆναι θέλοι;
Δεῖ τοι σὲ φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν,
Ὡς οὐκ ἔχωσι κῦρος οὐδὲν ἀμφὶ σοῦ.

ΧΟΡΟΣ.

στρ. γ΄. Μήτε ποτ᾽ οὖν γενοίμαν ὑποχείριος
Κράτεσιν ἀρσένων· ὕπαστρῳ δέ τοι
Μῆχαρ ὁρίζε μοι γάμου δύσφρονος
Φυγᾷ. Ξύμμαχον δ᾽ ἑλόμενος Δίκαν
Κρίνε σέβας τὸ πρὸς θεῶν.

ΒΑΣΙ-

VARIETAS LECTIONIS.

v. 388. μένει] μένοι Rob.

v. 389. δυσπαράθελκτος] Vulg. ἐν δυσπαραθέλκτοις. Senſu et metro repugnante.

v. 390. εἴ τοι] εἴποι Ald. Turn.

v. 392. τοῖσδ᾽] τίσδ᾽ Ald. τὶς Turn. θέλοι] Sic Turn. Cant. recte. Al. θέλει.

v. 393. φεύγειν] Cantero placuit φαίνειν.

v. 394. ἔχωσι] Vulg. ἔχουσι. Conjunctivum ſenſus requirit.

v. 395. μήτε] μήτι Vict. Cant. μήτε ποτ᾽ οὖν] μήτ᾽ οὖν ποτ᾽ οὖν Ald. μήτ᾽ οὖν, μήποτ᾽ οὖν Turn.

v. 396. ὑπάστρῳ] Vulg. ὕπαστρον.

v. 397. ὁρίζε μοι] Vulg. ὁρίζομαι.

v. 398. φυγᾷ] φυγαὶ Ald.

ΒΑΣΙΛΕΥΣ.

Οὐκ εὔκριτον τὸ κρῖμα· μή μ' αἱροῦ κριτήν.
Εἶπον δὲ καὶ πρίν, οὐκ ἄνευ δήμου τάδε
Πράξαιμ' ἄν, οὐδέπερ κρατῶν, μὴ καί ποτε
Εἴπῃ λεώς, εἴ που τὶ μὴ τοῖον τύχῃ,
Ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν.

ΧΟΡΟΣ.

ἀντιστ. γ'. Ἀμφοτέρους ὁμαίμων τάδ' ἐπισκοπεῖ
Ζεὺς ἑτερορρεπής, νέμων εἰκότως
Ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις.
Τί, τῶνδ' ἐξ ἴσου ῥεπομένων, μεταλ-
γεῖς τὸ δίκαιον ἔρξαι;

ΒΑΣΙΛΕΥΣ.

Δεῖ τοι βαθείας φροντίδος σωτηρίου,
Δίκην κολυμβητῆρος, ἐς βυθὸν μολεῖν
Δεδορκὸς ὄμμα, μηδ' ἄγαν δινώμενον·
Ὅπως ἄνατα ταῦτα, πρῶτα μὲν πόλει,
Αὐτοῖσί θ' ἡμῖν ἐκτελευτήσει καλῶς,
Καὶ μήτε δῆρις ῥυσίων ἐφάψεται,

Μήτ'

VARIETAS LECTIONIS.

v. 400. εὔκριτον] ἔκκριτον Rob.

v. 401. οὐκ ἄνευ δήμου] οὐκ ἂν εὐδήμου Ald.

v. 402. μὴ καί ποτε] Vulg. καὶ μήποτε.

v. 403. εἴ που τι μὴ] εἴ που τι καὶ μὴ Ald. Rob. τύχῃ] τυχθῇ Ald. Rob.

v. 408. τῶνδ' ἐξ ἴσου ῥεπομένων] τῶνδε ἐξῆς οὐ ῥεπομένων Rob. τῶν δέξις οὐ ῥεπομένων Turn.

v. 412. δινώμενον] ὠνομέ. Ald. ὀνομένων Rob. Cett. οἰνωμένον. Pauwius γανώμενον. Sed dubium non est Aeschylum scripsisse δινώμενον *vertigine haud correptum.*

Μήτ' ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας
Ἐκδόντες ὑμᾶς τὸν πανώλεθρον θεὸν
Βαρὺν ξύνοικον θησόμεσθ' ἀλάστορα,
Ὃς οὐδ' ἐν Ἅιδου τὸν θανόντ' ἐλευθεροῖ.
Μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου;

ΧΟΡΟΣ.

στρ. δ'. Φρόντισον καὶ γενοῦ
Πανδίκως εὐσεβὴς πρόξενος,
Τὰν φυγάδα μὴ προδῷς,
Τὰν ἕκαθεν ἐκβολαῖς
Δυσθέοις ὀρμέναν·

ἀντιστρ. δ'. Μηδ' ἴδῃς μ' ἐξ ἑδρᾶν
Πολυθέων ῥυσιασθεῖσαν, ὦ
Πᾶν κράτος ἔχων χθονός.
Γνῶθι δ' ὕβριν ἀνέρων
Καὶ φυλάξαι κότον.

στρ. ε'. Μήτι τλαίης τὰν ἱκέτιν εἰσιδεῖν
Ἀπὸ βρετέων βίᾳ
Δίκας ἀγομέναν

Ἱππη-

VARIETAS LECTIONIS.

v. 418. ξύνοικον θησόμεσθ'] ξύνοισιν θήσομεν Turn.

v. 419. ὅς] ὡς Ald. Rob. Jam Steph. vidit legendum esse ὅς.

v. 420. δοκεῖ δεῖν] δοκεῖν δεῖ Ald.

v. 425. ὀρμέναν] ὀρωμέναν Ald. Rob. Turn. Reliquae edd. ὁρμωμέναν. ὀρνυμέναν conj. Pauw.

v. 426. ἐξ ἑδρᾶν] ἐξέδραν Rob. ἐξεδρᾶν Turn.

v. 431. μήτι — εἰσιδεῖν] μήτι τ' αἀϊσταν ἱκέτην εἰς ἰδεῖν Ald. μήτι τὲ τλῆς τὰν ἱκέτιν εἰσιδεῖν Turn.

Ἱππηδὸν, ἀμπύκων
Πολυμίτων πέπλων τ' ἐπιλαβὰς ἐμῶν.
ἀντιστ. ε'. Ἴσθι γὰρ, σοῖς παισὶν ὅτι καὶ δόμοις
Ὁπότερ' ἂν κτίσῃς,
Μένει ἀποτίνειν
Ὅμοιαν οὖν θέμιν·
Τάδε φράσαι δίκαια Διόθεν κράτη.

ΒΑΣΙΛΕΥΣ.

Καὶ δὴ πέφρασμαι· δεῦρο δ' ἐξώκειλά τοι·
Ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἴρεσθαι μέγαν
Πᾶσ' ἔστ' ἀνάγκη· καὶ γεγόμφωται, σκάφος
Στρεβλαῖσι ναυτικαῖσιν ὡς προσηγμένον.
Ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή.
Καὶ χρημάτων μὲν ἐκ δόμου πορθουμένων
Ἄτης γε μείζων, καὶ μέγ' ἐμπλήσας γόμος
Γέ-

VARIETAS LECTIONIS.

v. 434. ἱππηδὸν] ἱππηδῶν Ald.

v. 435. πολυμίτων] πολυμήτων Ald. πολυκμήτων Rob.

v. 436. Vulg. παισὶ τάδε καὶ δόμοις. Turn. δόμῳ.

v. 437. ὁπότερ' ἂν κτίσῃς] ὁποτέραν κτήσῃς Ald.

v. 438. ἀποτίνειν] ἀντιτίνειν Turn. Vict. δρεικτίνειν Ald. δρεικτείνειν Rob. ἀντιτείνειν Vulg.

v. 440. Vulg. abeſt οὖν.

v. 441. ἐξώκειλά τοι] ἔξω κέλεται Ald. ἐξοκέλλεται vulg.

v. 443. 444. σκάφος — ὡς] Vulgo σκάφος — ναυτικαῖσι, ὡς πρ. Meliorem ſcripturam docuit Stanlejus.

v. 446. χρημάτων] e conj. Stanl. Vulg. χρήμασιν. — ἐκ δόμου] Vulg. ἐκ δόμων.

v. 447. ἄτης γε] ἄτην γε Ald. Rob. μείζων] μείζω vulg. legebatur. γεμίζων e codice affert Steph. γόμος] γόμου Ald. Rob. Turn. γόμον reliquae edd. γάμαν legerat Schol.; optimus vero

 ſenſus

Γένοιτ' ἂν ἄλλη κτησίου Διὸς χάριν.
Καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια,
'Αλγεινὰ θυμοῦ κάρτα κινητήρια,
Γένοιτο μύθου μῦθος ἂν θελκτήριος.
Ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται
Δεῖ κάρτα θύειν, καὶ πεσεῖν χρηστήρια
Θεοῖσι πολλοῖς πολλά, πημονῆς ἄκη.
Ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι·
Θέλω δ' ἄϊδρις μᾶλλον, ἢ σοφὸς κακῶν
Εἶναι. Γένοιτο δ' εὖ παρὰ γνώμην ἐμήν.

ΧΟΡΟΣ.

Πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων.

ΒΑΣΙΛΕΥΣ.

Ἤκουσα, καὶ λέγοις ἄν, οὔ με φεύξεται.

ΧΟΡΟΣ.

Ἔχω στρόβους ζώνας τε, συλλαβὰς πέπλων.

ΒΑΣΙΛΕΥΣ.

Τύχη γυναικῶν ταῦτα συμπρεπῆ πέλει.

ΧΟ-

VARIETAS LECTIONIS.

ſenſus oritur textu ita, ut fecimus, conſtituto.

v. 448. ἄλλη] ἄλλα Ald. Rob. Turn. etc.

v. 450. 451. inverſo ordine leguntur Γένοιτο — 'Αλγεινὰ — Ald. Rob. Turn. Vict. Sed transpoſitionem, quae jam Stanlejo in mentem venerat, ſenſus neceſſario poſtulat.

v. 452. ὅμαιμον] ὁμαιμόνων Ald. ὁμαίμων cod. a Steph. laudatus.

v. 458. πολλῶν] πολλῶν τ' Ald. πολλῶν δ' Turn.

v. 461. τύχη] τύχειν Ald. τύχα Rob. πέλει] πέλοι Ald. Rob. Turn. Vict. etc. Sed indicativum ſenſus requirit.

ΧΟΡΟΣ.

Ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανῇ καλῇ. . .

ΒΑΣΙΛΕΥΣ.

Λέξον· τίν' αὐδὴν τήνδε γηρυθεῖσ' ἔσει;

ΧΟΡΟΣ.

Εἰ μή τι πιστὸν τῷδ' ὑποστήσει στόλῳ. . . .

ΒΑΣΙΛΕΥΣ.

Τί σοι περαίνει μηχανὴ συζωμάτων;

ΧΟΡΟΣ.

Νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε.

ΒΑΣΙΛΕΥΣ.

Αἰνιγματῶδες τοὔπος· ἀλλ' ἁπλῶς φράσον.

ΧΟΡΟΣ.

Ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν.

ΒΑΣΙΛΕΥΣ.

Ἤκουσα μακιστῆρα καρδίας λόγον.

ΧΟΡΟΣ.

Ξυνῆκας; ὠμμάτωσα γὰρ σαφέστερον.

VARIETAS LECTIONIS.

v. 462. καλῇ] καλεῖ Ald. Rob.

v. 463. γηρυθεῖσ'] γηρυθεὶς Ald. Fortasse autem legendum fuerit: τίν' αὐδὴν τήνδε γηρύσεις ἐμοί;.

v. 467. ἀλλ' ἁπλῶς] Ex Abreschii conjectura. Vulg. ἀλλὰ πῶς.

v. 468. ἀπάγξασθαι] ἀπαλλάξασθαι Ald.

v. 469. μακιστῆρα] μαστικτῆρα conj. Stanl. γ' αἰκιστῆρα em. Heath.

ΒΑΣΙΛΕΥΣ.

Καὶ πολλαχῆ γε δυσπάλαιστα πράγματα,
Κακῶν δὲ πλῆθος, ποταμὸς ὣς, ἐπέρχεται.
Ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον
Τόδ' ἐςβέβηκα, κοὐδαμοῦ λιμὴν κακῶν.
Εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος,
Μίασμ' ἔλεξας οὐχ ὑπερτοξεύσιμον.
Εἰ δ' αὖθ' ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν
Σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους,
Πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν,
Ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον;
Ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον
Ἱκτῆρος· ὕψιστος γὰρ ἐν βροτοῖς φόβος.
Στεῖχ' οὖν, πάτερ γεραιὲ τῶνδε παρθένων,
Κλάδους τε τούτους αἶψ' ἐν ἀγκάλαις λαβὼν
Βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων
Θές, ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ
Πάντες πολῖται, μήδ' ἀποῤῥιφθῇ λόγος
Ἐμοῦ· κατ' ἀρχῆς γὰρ φιλαίτιος λεώς.
Καὶ γὰρ τάχ' ἄν τις οἶκτος εἰςιδὼν τάδε
Ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου,

Ὑμῶν

VARIETAS LECTIONIS.

v. 471. καὶ] καὶ μὴν Rob.

v. 473. οὐ μάλ'] οὐ μ' ἄλλ' Ald.

v. 474. ἐςβέβηκα] Vulg. ἐςβέβηκε. ἐςέβηκα vitio typogr. pro ἐςβέβηκα Rob.

v. 478. τέλους] Pauwius mavult τέλος.

v. 483. στεῖχ' οὖν] Vulg. σὺ μέν.

v. 484. κλάδους τε] Heathio placet κλάδους γε.

v. 486. τῆσδ'] τρὶςδ' Rob.

v. 489. οἶκτος] εἰκὸς Turn. οἰκτρὸς conj Stanl.

v. 490. στόλου] στόλον Robort.

Ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος·
Τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει.

ΔΑΝΑΟΣ.

Πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα
Αἰδοῖον εὑρεθέντα πρόξενον λαβεῖν.
Ὀπάονας δὲ φράστορας τῶν ἀστυκῶν
Ξύμπεμψον, ὡς ἂν τῶν θεῶν ἐγχωρίων
Βωμοὺς προνάους καὶ πολισσούχων ἕδρας
Εὕρωμεν, ἀσφάλεια δ' ᾖ, δι' ἄστεος
Στειχοῦσι· μορφῆς δ' οὐχ ὁμόστολος φύσις.
Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχῳ γένος
Τρέφει. Φύλαξαι μὴ θράσος τέκῃ φόβον·
Καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο.

ΒΑΣΙΛΕΥΣ.

Στείχοιτ' ἄν, ἄνδρες· εὖ γὰρ ὁ ξένος λέγει.
Ἡγεῖσθε βωμοὺς ἀστυκοὺς θεῶν θ' ἕδρας.
Καὶ ξυμβόλοισιν οὐ πολυστομεῖν χρεὼν
Ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν.

VARIETAS LECTIONIS.

v. 493 ſqq. perperam Choro Danaïdum adſcribuntur in edd.

v. 494. εὑρεθέντα] Vulg. εὖ ῥέοντα. Scaliger εὖ ῥύοντα emendabat. πρόξενον] e correctione Canteri a Stanl. probata. πρὸς ξένον vulgo. πρόςξενον Turn.

v. 495 ſqq. vulgo ſic leguntur: Ὀπάονας δὲ φράστορας τ' ἐγχωρίων Ξύμπεμψον, ὡς ἂν τῶν πολισσούχων θεῶν Βώμους προνάους καὶ πολισσούχων ἕδρας —

v. 504. βωμοὺς ἀστυκοὺς] βωμὴ ἀστίκτους Ald. βωμοὺς ἀθίκτους Rob. Pro θεῶν ἕδρας etſi ferri poterat appoſitio, malui tamen θεῶν θ' ἕδρας coll. v. 497. reſcribere.

ΧΟΡΟΣ.

Τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κίει·
Ἐγὼ δὲ πῶς δρῶ; ποῦ θράσος νέμεις ἐμοί;

ΒΑΣΙΛΕΥΣ.

Κλάδους μὲν αὐτοῦ λεῖπε σημεῖον πόνου.

ΧΟΡΟΣ.

Καὶ δή σφε λείπω, χειρὶ καὶ λόγοις σέθεν.

ΒΑΣΙΛΕΥΣ.

Λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.

ΧΟΡΟΣ.

Καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με;

ΒΑΣΙΛΕΥΣ.

Οὔτοι πτερωτῶν ἁρπαγαῖς σ' ἐκδώσομεν.

ΧΟΡΟΣ.

Ἀλλ' εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν.

ΒΑΣΙΛΕΥΣ.

Εὔφημον εἴη τοὔπος ἐνθυμουμένῃ.

ΧΟΡΟΣ.

Οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενός.

ΒΑΣΙ-

VARIETAS LECTIONIS.

v. 507. κίει] κίοι Ald. Robort. etc. Sed indicativum sensus postulat.

v. 508. νέμεις] Sic Rob. Ceterae νέμοις.

v. 511. ἐπιστρέφου] ἐπιστρέφω Ald.

v. 513. ἁρπαγαῖς] ἅρπαγες Ald. Rob. Post ἁρπαγαῖς inserui σε, quod in Edd. praeter Glasg. abest.

v. 515. ἐνθυμουμένῃ] Vulg. εὐφημουμένῃ.

ΒΑΣΙΛΕΥΣ.

'Ἀεὶ δ' ἀνάκτων ἐστὶ δεῖμ' ἐξαίσιον.

ΧΟΡΟΣ.

Σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρενά.

ΒΑΣΙΛΕΥΣ.

'Ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατήρ.
'Ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους,
Πείσω τὸ κοινὸν, ὡς ἂν εὐμενὲς τιθῶ,
Καὶ σὸν διδάξω πατέρ' ὁποῖα χρὴ λέγειν.
Πρὸς ταῦτα μίμνε, καὶ θεοὺς ἐγχωρίους
Λιταῖς παραιτοῦ, τῶν σ' ἔρως ἔχει τυχεῖν.
'Ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι·
Πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.

VARIETAS LECTIONIS.

v. 518. φρενά.] Sic recte Heathius emendandum censuit. Vulg. φρενί.

v. 521. 522. 523. omissi in Rob. propter ὁμοιοτέλευτον in vocabulo ἐγχωρίους v. 520. 523.

v. 521. πείσω] πιέτω Ald.

v. 522. πατέρ', ὁποῖα] πατέρα, τοῖα Vulg. πατέρα· τοῖα Vict. οἷα conj. Stanl. ποῖα conj. Heath.

v. 523. θεοὺς ἐγχωρίους] Quia paulo ante jam positum erat in versiculi clausula ἐγχωρίους, suspicor hic legendum esse πολισσούχους θεούς.

v. 524. παραιτοῦ] παραιτῶ Rob.

v. 525. πορσυνῶν] Sic metri causa scribendum esse vidit Heathius. Idem observavit Valckenaer ad Eurip. Phoen. v. 1082. p. 384. laudans Schol. Theocr. in Id. II. v. 3. τὰ γὰρ ἀπὸ τοῦ υνω ῥήματα ἐπὶ τοῦ μέλλοντος ἀεὶ βραχὺ τὸ δίχρονον ἔχουσιν. Vulg. πορσύνων.

ΧΟΡΟΣ.

στρ. α'. Ἄναξ ἀνάκτων, μακάρων
Μακάρτατε, καὶ τελέων
Τελειότατον κράτος, ὄλβιε Ζεῦ,
Πιθοῦ τε καὶ γένει σῷ
Ἄλευσον ἀνδρῶν ὕβριν εὖ στυγήσας,
Λίμνᾳ δ' ἔμβαλε πορφυροειδεῖ
Τὰν μελανόζυγ' ἄταν.
ἀντιστρ. α'. Τὸ πρόσθ' ἔνοικον γ' ἐπιδὼν
Παλαίφατον ἁμέτερον
Γένος, φιλίας προγόνου γυναικὸς
Νέωσον εὔφρον' αἶνον,
Γενοῦ πολυμνήστωρ, ἔφαπτορ Ἰοῦς,
Δι' ἇς τοι γένος εὐχόμεθ' εἶναι
Γᾶς ἀπὸ τᾶσδ' ἄποικοι.
στρ. β'. Παλαιὸν δ' εἰς ἴχνος μετέσταν
Ματέρος ἀνθονόμου τ' ἐπωπάς,
Λειμῶνα βουχίλον, ἔνθεν Ἰὼ

Οἴστρῳ

VARIETAS LECTIONIS.

v. 530. Vulg. πεῖθου τε καὶ γενέσθω.

v. 531. ἄλευσον] Ex em. Staplej. Vulg. ἀλευσόν.

v. 533. μελανόζυγ' ἄταν] Vulg. μελανοζυγάταν. μελανόζυγα νᾶν, vel μελανόζυγ' ἄταν emend. Stanl. Posterius, ut verissimum, recepimus.

v. 534. Vulg. τὸ πρὸς γυναικῶν ἐπιδών.

v. 536. Colon post γυναικὸς vulgo positum recte tollendum censuit Stanl.

v. 537. εὔφρον'] εὖφρον Turn.

v. 538. πολύμνήστωρ] Heathius conj. πολυμνήστου γ'.

v. 539. Δι' ἇς] Vulg. Δίας. Stanl. emend. Διός. Heath. Ἰοῦς.

v. 540. ἄποικοι] Vulg. ἔνοικοι. Pauw. conj. ἄνοικοι.

v. 542. Vulg. ματέρος ἀνθονόμους ἐπωπάς.

Οἴστρῳ ἐρεσσομένα
Φεύγει ἁμαρτίνοος,
Πολλὰ βροτῶν διαμειβομένα
Φῦλα. Διχῆ δ' ἀντίπορον
Γαῖαν ἐν αἴσᾳ διατέ-
μνουσα πόρον κυματίαν ὁρίζει·
ἀντιστρ. β΄. Ἰάπτει δ' Ἀσίδος δι' αἴας
Μηλοβότου Φρυγίας διαμπάξ.
Περᾷ δὲ Τευθράντος ἄστυ Μυσῶν
Λύδιά τε γύαλα
Καὶ δι' ὀρῶν Κιλίκων
Παμφύλων τε διορνυμένα·
Τοὺς ποταμούς τ' ἀενάους,
Καὶ βαθύπλουτον χθόνα, καὶ
Τᾶς Ἀφροδίτας πολύπυρον αἶαν.
στρ. γ΄. Ἱκνεῖται δή, κινουμένα βέλει
Βουκόλου πτερόεντος,

VARIETAS LECTIONIS.

v. 545. ἁμαρτίνοος] ἁμαρτίνους Ald. Turn.

v. 546. διαμειβομένα] διαμειβόμεθα Ald.

v. 550. δ' Ἀσίδος] βασίδος Vict.

v. 553. Λύδια] λύγια Ald. Rob.

v. 555. Poſt Παμφύλων τε vulg. addebatur γένη. Id metro excludi vidit Heath. Verum etiam a ſententia abhorret. Itaque expunxi.

v. 556. τοὺς] τὰν Ald. τὰ Rob. ποταμούς τ'] Vulg. ποταμοὺς δ'. ἀενάους] Hoc metri cauſa cum Pauwio praetuli vulg. ἀεννάους.

v. 559. δὴ κινουμένα] Vulg. εἰςικνουμένη. Pauwius em. εἰςιδνουμένη, *incurvata*. δυςπονουμένη Heath. εἰςοιχνουμένη MS. Aurat. εἰςκινουμένη Abreſch. ἐξιχνωμένα repoſuit Bothius.

v. 560. βουκόλου πτερόεντος] βουκολοπτερόεντος Rob.

Δῖον πάμβοτον ἄλσος,
Λειμῶνα χιονόβοσκον, ὅν τ' ἐπέρχεται
Τυφῶ μένος,
Ὕδωρ τὸ Νείλου νόσοις ἄθικτον,
Μαινομένα πόνοις ἀτί-
μοις, ὀδύναις τε κεντροδα-
λήτοις θυιάδος Ἥρας.

ἀντιστρ. γ'. Βροτοὶ δ' οἱ γᾶς τότ' ἦσαν ἔννομοι,
Χλωρῷ δείματι θυμὸν
Πάλλοντ', ὄψιν ἀήθη,
Βοτὸν ἐσορῶντες δυσχερὲς μιξόμβροτον,
Τὰν μὲν βοός,
Τὰν δ' αὖ γυναικός, τέρας δ' ἐθάμβουν.
Καὶ τότε δὴ τίς ἦν ὁ θέλ-
ξας πολύπλαγκτον ἀθλίαν
Ἰώ, οἰστροδόνητον;

στρ. δ'. Ζεὺς αἰῶνος κρέων ἀπαύστου
* * * * * * *
Βία δ' ἀπημάντῳ σθένει
Καὶ θείαις ἐπιπνοίαις
Παύει, τὴν δακρύων δ' ἀπο-
στάζει πένθιμον αἰδῶ.

Λαβοῦ-

VARIETAS LECTIONIS.

v. 562. χιονόβοσκον, ὅν τ' ἐπέρχεται] χιονόβοσκον τ' ἐπέρχεται Rob. χ. ἔνθ' ἐπέρχεται Turn.

v. 563. τυφῶ μένος] τυφώμενος Ald.

v. 566. κεντροδαλήτοις] κεντροδαλήτης Turn.

v. 567. θυιάδος] Vulg. θείας.

v. 574. καὶ τότε] καὶ τόδε Vict.

v. 576. Vulg. οἰστροδόνητον Ἰώ;

v. 581. παύει τὴν] παύεται Vulg.

Λαβοῦσα δ' ἕρμα δῖον ἀψευδεῖ λόγῳ
Γείνατο παῖδ' ἀμεμφῆ,
ἀντιστρ. δ'. Δι' αἰῶνος μακροῦ πάνολβον·
Ἔνθεν πᾶσα βοᾷ χθών·
„Φυσιζόον γένος τοδὶ
Ζηνός ἐστιν ἀληθῶς.
Τίς γὰρ ἂν κατέπαυσεν Ἥ-
ρας νόσους ἐπιβούλου;
Διὸς τόδ' ἔργον· καὶ τόδ' ἂν γένος λέγων
Ἐξ Ἐπάφου κυρήσαις."
στρ. ε'. Τίν' ἂν θεῶν εὐλογωτέρως σοῦ
Κεκλοίμαν ἐνδίκοις ἐπ' ἔργοις;
Πατὴρ φυτουργός αὐτόχειρ ἄναξ Ἰοῦς,
Γένους παλαιόφρων μέγας
Τέκτων, τὸ πᾶν μῆχαρ οὔριος Ζεύς.
ἀντιστρ. ε'. Ὑπ' ἀρχᾶς δ' οὔ τινος θοάζων
Τὸ μεῖον κρεισσόνων κρατύνεις

Οὐ

VARIETAS LECTIONIS.

v. 583. ἕρμα δῖον] ἑρμάδιον Ald.

v. 587. τοδὶ] τὸ δὴ Ald. Rob.

v. 590. ἐπιβούλου] Vulg. ἐπιβούλους.

v. 592. κυρήσαις] Pauw. mavult κυρήσαι.

v. 593. 594. Vulg. Τίν' ἂν θεῶν ἐνδικωτέροισι κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις.

v. 595. Ἰοῦς, quod in edd. abest, sensus et metri causa addidi.

v. 599. κρεισσόνων] κρείσσον ὧν Ald. Rob.

Οὔ τινα δ' ἄνωθεν ἥμενον σέβει κάτω.
Πάρεστι δ' ἔργον ὡς ἔπος,
Σπεῦσαί τι τῶν βούλιος φέρει φρήν.

ΔΑΝΑΟΣ. ΧΟΡΟΣ.

ΔΑΝΑΟΣ.

Θαρσεῖτε, παῖδες, εὖ τὰ τῶν ἐγχωρίων.
Δήμου δέδοκται παντελῆ ψηφίσματα.

ΧΟΡΟΣ.

Ὦ χαῖρε, πρέσβυ, φίλτατ' ἀγγέλων ἐμοί·
Ἔνισπε δ' ἡμῖν, ποῖ κεκύρωται τέλος;
Δήμου κρατοῦσα χεὶρ ὅποι πληθύεται;

ΔΑΝΑΟΣ.

Ἔδοξεν Ἀργείοισιν, οὐ διχοῤῥόπως,
Ἀλλ' ὥς ἀνηβῆσαι με γηραιᾷ φρενί.
Πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις

Ἔφρι-

VARIETAS LECTIONIS.

v. 600. Vulg. οὔ τινος ἄνωθεν ἡμένου σέβει κάτω. Exemplar Aurati habet οὔ τινα — ἥμενον. Pro κάτω Pauwius et Heathius malebant κράτος. Frustra. Pro σέβει scribitur σέβῃ Turn.

v. 602. βούλιος] Sic Pauwius cum Heathio. Vulg. δούλιος. Stanl. em. οὔλιος.

v. 606. ἔνισπε] ἔνεπε Ald. ἐν εἰπὲ Turn. ποῖ κεκύρωται] ποῦ κεκύρωται Turn.

v. 607. χεὶρ ὅποι πληθύεται] χειροπληθύεται mendose Rob. χεὶρ ὅπως πλ. Turn.

v. 609. ἀνηβῆσαι με] Vulg. Rob. ηὐλήσαιμι.

Ἔφριξεν αἰθὴρ, τόνδε κραινόντων λόγον·
Ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους
Καῤῥυσιάστους, ξύν τ' ἀσυλίᾳ βροτῶν·
Καὶ μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινὰ
Ἄγειν· ἐὰν δὲ προστιθῇ τὸ καρτερὸν,
Τὸν μὴ βοηθήσαντα τῶνδε γαμόρων
Ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτῳ.
Τοιάνδ' ἔπειθε ῥῆσιν ἀμφ' ἡμῶν λέγων
Ἄναξ Πελασγῶν, ἱκεσίου Διὸς κότον
Μέγαν προφωνῶν, μήποτ' εἰσόπιν χρόνου
Πόλιν παχῦναι, ξενικὸν ἀστυκόν θ' ἅμα
Λέγων διπλοῦν μίασμα, πρὸ πόλεως φανέν,
Ἀμηχάνου βόσκημα πημονῆς πέλειν.
Τοιαῦτ' ἀκούων χερσὶν Ἀργεῖος λεὼς
Ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε.
Δημηγόρους δ' ἤκουσεν εὐπειθεῖς στροφὰς
Δῆμος Πελασγῶν· Ζεὺς δ' ἐπέκρανεν τέλος.

ΧΟΡΟΣ.

Ἄγε δὴ, λέξωμεν ἐπ' Ἀργείοις
Εὐχὰς ἀγαθάς, ἀγαθῶν ποινάς.

Ζεὺς

VARIETAS LECTIONIS.

v. 613. καῤῥυσιάστους] καὶ ῥυσιάστους Rob. ξύν τ' ἀσυλίᾳ] ξύν τε ἀσυλία Rob.

v. 617. δημηλάτῳ] Apud Steph. Byzantinum legitur δημήλατον, quam lectionem Holſtenius quoque ad Steph. Byz. p. 98. defendit.

v. 620. προφωνῶν] Ita Canterus, adſtipulante Stanlejo. Vulg. πρόφρων ὤν.

v. 621. παχῦναι] πλατῦναι Schol. Sic MS. Reg.

v. 623. ἀμηχάνου] Sic e Stanl. conj. reſcripſi. Vulg. ἀμήχανον.

v. 625. ἔκραν' ἄνευ κλητῆρος] ἔκραναν εὐκλήτορος Rob.

v. 628. λέξωμεν] λέξομεν Ald. Rob.

Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου
Στόματος τιμὰς ἐπ' ἀληθείᾳ
Τέρμον' ἀμέμπτως πρὸς ἅπαντα.

στρ. α. Νῦν ὅτε καὶ θεοὶ
Διογενεῖς κλύοιτ'
Εὐκταῖα γένει χεούσας·
Μήποτε πυρίφατον
Τὰν Πελασγίαν πόλιν
Κτῖσαι μάχλον Ἄρη,
Τὸν ἄχορον βοὰν
Ἐν ἀροταῖς
Θερίζοντα βροτοὺς ἀλωαῖς·
Οὕνεκ' ᾤκτισαν ἡμᾶς,
Ψῆφον δ' εὔφρον' ἔθεντο·
Αἰδοῦνται δ' ἱκέτας Διός,
Ποίμναν τάνδ' ἀμέγαρτον·

Οὐδὲ

VARIETAS LECTIONIS.

v. 630. ξένιος] ξενίοις Ald.

v. 631. 632. ἐπ' ἀληθείᾳ τέρμον'] ἐπ' ἀληθεῖ ἀτέρμον' Rob. ἀμέμπτως] ἀμέμπτων Rob.

v. 633. νῦν ὅτε] νῦν ποτε legendum, Pauw. νῦν ἔτι Heath.

v. 635. εὐκταῖα] εὐκτέα Rob.

v. 637. τὰν Πελασγίαν πόλιν] Male hunc versum tentat Pauwius corrigendo τὰν Πελασγῶν πόλιν, parem scilicet sic antithetico effectu-rus, qui tamen facilius strophico aequandus est. cf. v. 650.

v. 638. 639. Vulgo inverso ordine leguntur: Τὸν ἄχορον βοὰν Κτῖσαι μάχλον Ἄρη. Sed transponendos esse, ut cum Antistrophicorum metro respondeant, jam Pauwius Heathiusque viderunt.

v. 640. 641. ἐν ἀροταῖς — ἀλωαῖς] Sic emendavi vulg. τὸν ἀρότοις — ἐν ἄλλοις.

v. 644. αἰδοῦνται] αἰδοῦντος Ald.

ἀντιστ. α'

Οὐδὲ μετ' ἀρσένων
Ψῆφον ἔθεντ', ἀτι-
μώσαντες ἔριν γυναικῶν·
Δῖον ἐπιδόμενοι
Πράκτορά τε καὶ σκοπὸν
Δυσπολέμητον, ὃν οὔ-
τις ἂν δόμος ἔχοι
Ἐπ' ὀρόφων
Κοταίνοντα, βαρὺς δ' ἐφίζει.
Ἅζονται γὰρ ὁμαίμους
Ζηνὸς ἵκτορας ἁγνούς·
Τοιγάρτοι καθαροῖσι πρὸς
Βωμοῖς θεοὺς ἀρέσονται.

στρ. β'.

Τοιγὰρ ὑποσκίων ἐκ
Στομάτων ποτάσθω
Φιλότιμος εὐχά·
Μήποτε λοιμὸς ἀνδρῶν
Τῶνδε πόλιν κενῶσαι·
Μηδ' ἐπιχωρίοις ἔρις
Πτώμασιν αἱματίσαι πέδον γᾶς·

Ἥβας

VARIETAS LECTIONIS.

v. 647. ἀτιμώσαντες] ἀτιμάσαντες Ald. Turn.

v. 650. πράκτορά τε καὶ] Metri causa addidi καὶ. Heathius emendabat πράκτορ' αὐτεπισκοπὸν —

v. 653. ἐπ' ὀρόφων] ἐπόροφον Turn.

v. 654. κοταίνοντα]. Ita correxi vulg. μιαίνοντα. Pauwius conj. μηνίοντα. Heathius ἐμφθονοῦντα.

v. 657. πρὸς metri causa addidi.

v. 664. ἔρις auctore Heathio metri pariter ac sententiae causa inserui.

v. 665. γᾶς versiculi explendi causa additum.

Ἥβας δ' ἄνθος ἄδρεπτον
Ἔστω· μηδ' Ἀφροδίτας
Εὐνάτωρ βροτολοιγὸς Ἄ-
ρης κέρσειεν ἄωτον.
ἀντιστ. β'. Καὶ γεραροῖσι πρεσβυ-
τοδόκοι γεμόντων
Θυμέλαι, φλεγόντων
Θ', ὡς πόλις εὖ νέμοιτο.
Ζῆνα μέγαν σεβόντων,
Τὸν ξένιον πανυπέρτατον,
Ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ.
Τίκτεσθαι δ' ἐφόρους γᾶς
Ἄλλους εὐχόμεθ' ἀεί·
Ἄρτεμιν δ' ἑκάταν γυναι-
κῶν λόχους ἐφορεύειν.

Μηδέ

VARIETAS LECTIONIS.

v. 666. ἥβας δ'] τὰς ἥβας Ald. Abest δ' Rob. τᾶς ἥβας δ' Turn.

v. 667. μηδ'] μὴ Ald. Rob. Turn. etc. μηδ' ex Heathii emendatione.

v. 668. εὐνάτωρ] ἀνάτωρ Rob.

v. 672. θυμέλαι] θυμελίαι Ald.

v. 673. θ' ὡς] τῶς Ald. Rob., ubi sic interpungitur γεμόντων, θυμελαὶ φλεγόντων, τῶς —. τ' ὡς Turn.

v. 675. τὸν ξένιον πανυπέρτατον] Hoc reposui pro vulg. τὸν ξένιον Δι' ὑπέρτατον. Frigide enim Δία post Ζῆνα hic repeteretur. ξένιον δ' Ald. Rob. Turn. ξένιον γ' ὑπέρτατον Pauw. Heath.

v. 676. πολιῷ] male Stanl. in notis conj. πόλεων.

v. 677. ἐφόρους γᾶς] ἐφ' ὀργῶς Ald. ἐμφόρους γᾶς Rob. εὐόργας Turn.

v. 678. ἀεὶ] Metri causa αἰεὶ rescribendum arbitrabatur Pauw. Frustra.

v. 680. λόχους] λόγους Ald.

στρ. γ'. Μηδέ τις ἀνδροκμὴς
Λοιγὸς ἐπελθέτω,
Τάνδε πόλιν δαΐζων
Ἄχορος, ἀκίθαρις,
Δακρυογόνον Ἄρη
Βοάν τ' ἔνδημον ἐξοπλίζων.
Νούσων δ' ἑσμὸς ἀπ' ἀστῶν
Ἵζοι κράτους ἀτερπής.
Εὐμενὴς δ' ὁ Λύκειος ἔ-
στω πάσᾳ νεολαίᾳ.
ἀντιστρ. γ'. Καρποτελῆ δέ τοι
Ζεὺς ἐπικραινέτω
Φέρματι γᾶν πανώρῳ.
Πρόνομα δὲ βοτὰ
Τὼς πολύγονα τελέθοι·

Τὸ

VARIETAS LECTIONIS.

v. 683. δαΐξων] δαΐζων Ald. Turn.

v. 684. ἀκίθαρις] Ex certissima Heathii emendatione. Vulgo κίθαρις legebatur. κιθάρης Turn. κινάρης Pauw.

v. 685. Ἄρη] Ἄρην Rob.

v. 686. τ' ἔνδημον] Sic em. Pauw. Heath. Vulg. τε δήμων. Ald. τε δῆμον. ἐξοπλίζων] Sic optime Stanl. emendavit in notis. Vulg. ἔξω παίζων.

v. 687. δ' ἑσμὸς] δεσμὸς Ald. Rob.

v. 688. κράτους] κράτος Ald. Rob.

v. 689. Λύκειος] Λυκεῖος Arnald., Heath. ὀλύκιος Ald.

v. 690. πάσᾳ νεολαίᾳ] πᾶσαν νεολέα Ald. Rob.

v. 691. καρποτελῆ] Vulgo καρποτελεῖ. Stanl. in versione expressit καρποτελεῖν.

v. 694. βοτὰ τὼς] βρότατος Ald. Rob.

Τὸ πᾶν δ' ἐκ δαιμόνων λάβοιεν,
Εὔφημον δ' ἐπιβοῷεν
Μοῦσαι θεαί τ' ἀοιδοί·
Ἁγνῶν δ' ἐκ στομάτων φερέ-
σθω φήμα φιλοφόρμιγξ.
στρ. δ'. Φυλάσσοι τ' ἀσφαλεῖς τιμὰς
Τὸ δήμιον· τὴν πτόλιν κρατύνοι
Προμαθεὺς εὐκοινόμητις ἀρχά.
Ξένοισί τ' εὐξυμβόλους,
Πρὶν ἐξοπλίζειν Ἄρη,
Δίκας ἄτερ πημάτων διδοῖεν.
ἀντιστρ. δ'. Θεοὺς δ' οἳ γᾶν ἔχουσ', ἀεὶ
Τίοιεν ἐγχωρίους πατρῴαις
Δαφνηφόροις βουθύτοισι τιμαῖς.
Τὸ γὰρ τεκόντων σέβας
Τρίτον τόδ' ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου.

ΔΑ-

VARIETAS LECTIONIS.

v. 696. πᾶν δ'] πάντ' Ald. Rob. πᾶν τ' Turn. λάβοιεν] λάθοιεν Ald. Rob.

v. 697. εὔφημον δ' ἐπιβοῷεν] εὔφημαν δ' ἐπιβωμάν Aldin. ἀφήμοις δ' ἐπὶ βωμοῖς Rob.

v. 698. ἁγνῶν δ'] ἁγνῶν τ' Ald. Abeſt δὲ Rob.

v. 701. ἀσφαλεῖς] εὐτιμίας Turn. ἀτιμίας cett. edd. ἀτρεμαίας conj. Canter. εὐκτιτάς τε Pauw. ἀτενῶς γε Heath. Nos reſcripſimus ἀσφαλεῖς, veſtigia ſequuti MS. Reg., quod habet ἀσφαλίας. τιμὰς] τιμῶς Ald.

v. 702. τὴν] τὸ Ald. Rob. κρατύνοι] κρατύνει Ald. Turneb. etc. Optativum jam Steph. praetulit.

v. 703. προμαθεὺς] προμηθεὺς Rob.

v. 707. ἔχουσ'] Ita metri cauſa reſcripſimus. Vulgo ἔχουσιν.

v. 708. πατρῴαις] Vulg. πατρωΐαις.

ΔΑΝΑΟΣ.

Εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι·
Ὑμεῖς δὲ μὴ τρέσητ' ἀκούσασαι πατρὸς
Ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.
Ἱκεταδόκου γὰρ τῆσδ' ἀπὸ σκοπῆς ὁρῶ
Τὸ πλοῖον. Εὔσημον γὰρ οὔ με λανθάνει·
Στολμοί τε λαίφους καὶ παραῤῥύσεις νεώς.
Καὶ πρῷρα πρόσθεν ὄμμασι βλέπουσ' ὁδόν,
Οἴακος εὐθυντῆρος ὑστάτου νεὼς
Ἄγαν καλῶς κλύουσά γ' ὡς ἂν οὐ φίλη.
Πρέπουσι δ' ἄνδρες νήϊοι μελαγχίμοις
Γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν·
Καὶ τἄλλα πλοῖα, πᾶσά θ' ἡ 'πικουρία
Εὔπρεπτος· αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα
Στείλασα λαῖφος παγκρότως ἐρέσσεται.
Ἀλλ' ἡσύχως χρή, καὶ σεσωφρονισμένως
Πρὸς πρᾶγμ' ὁρώσας, τῶνδε μὴ 'μελεῖν θεῶν.
Ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών.
Ἴσως γὰρ ἢ κήρυξ τις ἢ πρέσβυς μόλοι,

VARIETAS LECTIONIS.

v. 714. ὑμεῖς δὲ μὴ τρέσητ'] ἡμεῖς δὲ μῆτρες ἀεὶ Ald. ἡμεῖς δὲ μὴ τρέσαιτ' Rob.

v. 716. σκοπῆς] σκοπᾶς Ald. Turn.

v. 718. τε λαίφους] τελέφους Ald.

v. 720. εὐθυντῆρος] συνουτῆρος Ald. Rob.

v. 721. γ' ὡς] τῶσ' Ald. τῶς Rob.

v. 722. μελαγχίμοις] μελαγχίμους Ald.

v. 728. μὴ 'μελεῖν] μὴ ἀμβελεῖν Ald.

v. 729. ἀρωγοὺς] ἀρωγὰς Rob. θ' ἥξω] θήξα Ald. Rob.

v. 730. πρέσβυς μόλοι] πρεσβύμολοι Ald. πρεσβήμολοι Rob.

v. 730 ſqq. Editor Glasg. v. 730. 731. puellis, v. 732. Da-

Ἄγειν θέλοντες, ῥυσίων ἐφάπτορες.
Ἀλλ' οὐδὲν ἔσται τῶνδε, μὴ τρέσητέ νυν.
Ὅμως ἄμεινον, εἰ βραδύνοι μὲν βοή,
Ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτέ.
Θάρσει· χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ
Θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην.

ΧΟΡΟΣ.

στρ. ε'. Πάτερ φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι
Ἥκουσι, μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου.
Περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως.
Πολυδρόμου φυγᾶς ὄφελος οὔ τι μοι·
Παροίχομαι, πάτερ, δείματι.

ΔΑΝΑΟΣ.

Ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνον,
Θάρσει, μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγώ.

ΧΟ-

VARIETAS LECTIONIS.

Danao, v. 733. 734. puellis assignavit, quod minime imitandum.

v. 731. ἐφάπτορες] ἐφάπτορας Rob.

v. 732. μὴ τρέσητε νῦν] μὴ τρέση ταίνιν Ald. μὴ τρέσαιτέ νιν Rob.

v. 733. εἰ βραδύνοι μὲν βοή,] Vulg. εἰ βραδύνοιμεν βοῇ.

v. 735. θάρσει] θαρσεῖτε Rob.

v. 740. φυγᾶς] φυγὰς Ald.

v. 740. 741. ὄφελος οὔ τι μοι· παροίχομαι, πάτερ, δείματι.] Vulg. ὄφελος εἴ τι μοι, παροίχεται πάτερ δείματι. Sed in Ald. est παρείχομαι, in Rob. παροίχομαι, quod, quia aptiorem sensum praebet, recepimus, et εἴ τι in οὔτι mutavimus.

v. 742. τέκνον] Vulg. τέκνα.

v. 743. ἐγώ] ἐγών Ald. Rob.

ΧΟΡΟΣ.

ἀντιστρ. ε'. Ἐξῶλές ἐστι μάργον Αἰγύπτου γένος,
Μάχης δ' ἄπληστον· καὶ λέγω πρὸς εἰδότα.
Δορυπαγεῖς δ' ἔχοντες κυανώπιδας
Νῆας ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ,
Πολεῖ μελαγχίμῳ ξὺν στρατῷ.

ΔΑΝΑΟΣ.

Πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίας
Θάλπει βραχίον' εὖ κατερρινημένους.

ΧΟΡΟΣ.

στρ. ζ'. Μόνην δὲ μὴ πρόλειπε· λίσσομαι, πάτερ.
Γυνὴ μονωθεῖσ' οὐδέν. Οὐκ ἔνεστ' Ἄρης.
Δολόφρονες δὲ καὶ δολομήτιδες
Δυσάγνοις φρεσὶν, κόρακες ὥστε, βω-
μῶν ἀλέγοντες οὐδέν.

VARIETAS LECTIONIS.

v. 744. ἐξῶλές ἐστι μάργον] ἐξώλεσεν τιμάργον Rob.

v. 745. μάχης δ'] μάχης τ' Ald. Rob. πρὸς εἰδότα] προσειδότα Rob.

v. 747. ἐπιτυχεῖ] ἐπὶ τύχει Ald. ἐπὶ τάχει Rob.

v. 748. πολεῖ] Recte ſic Stanl. emend. Vulg. πόλει. μελαγχίμῳ] μελαγχείμῳ Rob.

v. 749. μεσημβρίας] μεδημβρίᾳ Ald. μεσημβρίᾳ Rob. Turn. etc.

v. 750. θάλπει βραχίον'] θάρπτει βραχεῖον Ald. θάλπτοι βραχεῖον Rob.

v. 751. πρόλειπε] πρόλιπε Ald. Rob.

v. 752. μονωθεῖσ'] μονοθεῖσ' Ald.

v. 753. δολόφρονες] Ita ſcribendum cenſuit metri cauſa Stanlej. probantibus Pauwio Heathioque. Vulgo δουλόφρονες. Heathius inſuper τοι poſt δὲ inſerciendum cenſet.

v. 754. φρεσὶν] Sic Rob. Vulg. φρεσσίν.

ΔΑΝΑΟΣ.

Καλῶς ἂν ἡμῖν ξυμφέροι ταῦτ', ὦ τέκνον,
Εἴ σοί τε καὶ θεοῖσιν ἐχθαιροίατο.

ΧΟΡΟΣ.

ἀντιςρ. ζ'. Οὐ μὴ τριαίνας τάςδε καὶ θεῶν σέβη
Δείσαντες ἡμῶν χεῖρ' ἀποσχῶνται, πάτερ.
Περίφρονες δ' ἄγαν, ἀνιερῷ μένει
Μεμαργωμένοι, κυνοθρασεῖς, θεῶν
Οὐδὲν ἐπαΐοντες.

ΔΑΝΑΟΣ.

Ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν
Εἶναι· βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν.

ΧΟΡΟΣ.

Ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων
Ἔχοντας ὀργὰς χρὴ φυλάσσεσθαι καλῶς.

ΔΑΝΑΟΣ.

Οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολή,
Οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία
Ἐς γῆν ἐνεγκεῖν, οὐδ' ἐν ἀγκυρουχίαις

Θαρ-

VARIETAS LECTIONIS.

v. 760. ἀνιερῷ μένει] ἄν, ἐρομένει Ald.

v. 761. κυνοθρασεῖς θεῶν] καὶ κυνοθρασεῖς ἄντες Rob.

v. 762. οὐδὲν ἐπαΐοντες] Hunc verſiculum ſupplevimus e ſchedis Spanhemianis, ubi is e MS. Reg. Pariſ. enotatus eſt.

v. 764. βύβλου δὲ καρπὸς] βύβλου δ' ὁ καρπὸς Ald.

v. 766. ἔχοντας] ἔχοντες Ald. Rob. καλῶς] κράτος Ald. Rob.

v. 768. πεισμάτων σωτηρία] πισμάτων σωτηρίου Ald. Rob.

Θαρσοῦσι ναῶν ποιμένες παραυτίκα,
Ἄλλως τε καὶ μολόντες ἀλίμενον χθόνα.
Ἔπειτ' ἀποστείχοντος ἡλίου φιλεῖ
Ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ.
Οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ
Καλή, πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι. Σὺ δὲ
Φρόνει μὲν ὡς ταρβοῦσα μὴ μελεῖν θεῶν,
Πράξασ' ἀρωγήν. Ἄγγελον δ' οὐ μέμψεται
Πόλις γέρονθ', ἡβῶντα δ' εὐγλώσσῳ φρενί.

VARIETAS LECTIONIS.

v. 781. ἄλλως τε] ἀλλ' ὥς τε Ald. ἀλλ' ὡς Rob. ἀλλ' ὥς τε Turn.

v. 772. ἔπειτ'] Vulg. ἐς νύκτ', quod ferri non potest, quia ineptum esset dicere: *Nox sole in noctem abeunte solet gubernatori anxietatem parere.* ἀποστείχοντος] Ita Rob. vere. Ceterae ἀποστείχοντες.

v. 773. τίκτειν] τίκτει Ald. Rob.

v. 776. φρόνει] φρονεῖν Ald. μὴ 'μελεῖν] μὴ ἀμελεῖν Ald. Rob.

v. 777. πράξασ'] πράξας Ald. ἄγγελον δ' οὐ] ἄγγελον οὐ Ald.

v. 778. εὐγλώσσῳ] εὐγλώσσας Ald. εὖ γλώσσας Turn.

ΧΟΡΟΣ.

στρ. α'. Ἰὼ γᾶ βοῦνις, ἔνδικον σέβας,
Τί πεισόμεσθα; ποῖ φεύγωμεν Ἀπίας
Χθονός, κελαινὸν εἴ τι κεῦθός ἐστί που;
Μέλας γενοίμαν καπνὸς,
Νέφεσσι γειτονῶν Διὸς,
Τὸ πᾶν δ' ἄφαντος,
Ἀμπτᾶσα δ' ὡσεὶ
Κόνις ἄτερθε πτερύγων ὀλοίμαν.
ἀντιστρ. α'. Ἄφυκτος δ' οὐκ ἔτ' ἂν πέλοι γε κὴρ,
Μελανόχρως δὲ πάλλεταί μου καρδία.

Πα-

VARIETAS LECTIONIS.

v. 779. ἰὼ γᾶ βοῦνις] Vulgo ἰὼ γᾶ βουνῖτι, invito metro. βοῦνις Pauwius commendavit probante Heathio.

v. 780. πεισόμεσθα] πεισόμεθα Ald. Rob. Turn. φεύγωμεν] φύγομεν Aldin. φύγωμεν Rob. Turn.

v. 781. ἐστί που] ἐχίπου Ald. ἔχει που Turn.

v. 783. νέφεσσι] Metri causa ita scribendum judicavit Arnaldus, assentiente Heathio. Vulg. νέφεσι. γειτονῶν] γειτόνων Ald. Rob.

v. 784. ἄφαντος] ἄραντος Rob.

v. 785. ἀμπτᾶσα δ' ὡσεὶ] ἀμπετήσαις δόσαι Ald. ἀμπετήσασ' ὡς Rob. Antithetici versus causa Pauwius conjicit Ἀμπταμένα δ' ὡσεί. Heathius ἀμπτάσασ' ὡσεί.

v. 786. κόνις] Metri fulciendi causa γ' inferendum putant Pauwius et Heathius. ἄτερθε] ἄτερθεν Ald. Rob.

v. 787. Vulg. ἀφυκτὸν δ' οὐκ ἔτ' ἂν πέλοι κέαρ. Emendationem nostram metrum strophici et sensus confirmat. Heathius conjiciebat ἄφρικτον.

v. 788. μελανόχρως] μελαινόχρως metri causa praefert Pauw. Heath.

Πατρὸς σκοπαὶ δέ μ' εἷλον· αἴχομαι φόβῳ.
Θέλοιμι δ' ἂν μορσίμων
Βρόχου τυχεῖν ἐν σαργάναις,
Πρὶν ἄνδρ' ἀπευκτὸν
Τῷδ' ἐγχριμφθῆναι,
Πρόπαρ θανούσας δ' Ἀΐδας ἀνάσσοι.

στρ. β'. Πρόσθεν δέ μοι γένοιτ' ἐναίθριος θρόνος,
Πρὸς ὃν νέφη θ' ὑδρηλὰ νεῖται καὶ χιών,
Ἢ λισσάς, αἰγίλιψ, ἀπρόσ-
δεικτος, οἰόφρων, ἐρημὰς
Γυπίας πέτρα, βαθὺ
Πτῶμα μαρτυροῦσά μοι,
Πρὶν δαΐκτορος βίᾳ
Καρδίας γάμου κυρῆσαι.

ἀντιστρ. β'. Κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις
Ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν·

VARIETAS LECTIONIS.

v. 789. πατρὸς σκοπαὶ δέ μ' εἷλον] πατρὸς κόπω δέ, μεῖλον sic Ald. π. κῶπαι δὲ μ' εἷλον Rob. πατρὸς κόπῳ δὲ μᾶλλον Turn.

v. 790. 791. Vulgo θέλοιμι δ' ἂν μορσίμου βρόχου τυχεῖν ἐν σαργάναις.

v. 793. τῷδ' ἐγχριμφθῆναι] Vocabulum χεροῖν, vulgo additum, ut glossema, Heathio auctore delevi.

v. 794. δ' Ἀΐδας] δᾷδας Rob. δαΐδας Turn.

v. 795. πρόσθεν] πόθεν Ald. Rob. Turn. ἐναίθριος θρόνος] e Bothii correctione. Vulg. ἂν αἰθέρος θρόνος.

v. 796. Vulgo πρὸς ὃν νέφη δι' ὑδρηλὰ γίνεται χιών. Quod recepimus Bothio debetur, nisi quod is καὶ νεῖται χιὼν scripsit.

v. 798. ἐρημὰς] κρέμας Rob. A Pauwio et Heathio versus metri causa sic ordinatur:

— δεικτος, ἐρημάς, οἰό-
φρων.

Τῷ γὰρ θανεῖν ἐλευθεροῦ-
μαι φιλαιακτῶν κακῶν.
Ἐλθέτω μόρος πρὸ κοί-
τας γαμηλίου τυχών.
Τίνα γὰρ ἄτας ἔτι πόρον
Καὶ γάμου λυτῆρα τέτμω;
στρ. γ΄. Ἴυζ' ὀμφὰν οὐρανίαν,
Μέλη λίτανα θεοῖσι, καὶ
Τελεῖα μοι πῶς πελόμενα.
Λύσιμα γάμου δ' ἔπιδε, πάτερ,
Βίαια μὴ φιλοῖς, ὁρῶν
Ὄμμασιν ἐνδίκοις.

Σεβί-

VARIETAS LECTIONIS.

v. 805. τῷ — ἐλευθεροῦμαι] Sic emendavi vulg. τὸ γὰρ θανεῖν ἐλευθεροῦται.

v. 806. φιλαιακτῶν κακῶν] φίλαι, ἐκ τῶν κακῶν Rob. Turn.

v. 807. ἐλθέτω] Bis in edd. Sed alterum ejiciendum. Pauw. Heath.

v. 809. 810. τίνα γὰρ ἄτας ἔτι πόρον καὶ γάμου λυτῆρα τέτμω] Vulg. τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον εὕρω γάμου καὶ λυτήρια, nisi quod pro εὕρω in Ald. est τέκνω. Emendationem nostram antitheticorum metrum et sententia poscit.

v. 810. καὶ abest Turn.

v. 811. ὀμφὰν οὐρανίαν] Sic Ald. Turn. Vulg. ὀμφάν, οὐράνια.

v. 813. τέλεια] Sic Rob. Vulgo sic leguntur:

Τέλεα δέ μοι πῶς
Πελόμενά μοι λύσιμα.

v. 814. λύσιμα γάμου δ' ἔπιδε] Vulg. μάχημα δ' ἔπιδε.

v. 815. βίαια μὴ φιλοῖς, ὁρῶν] βίαν· εἰ φιλεῖς ὁρῶν Vict. Cant. Stanl. βία μη φιλεῖς ὁρᾷς Ald. βίαια μὴ φιλεῖς ὁρῶν Rob., quod probat Steph. βίαν εἰ φιλεῖς ὁρᾷν Turn.

Σεβίζου δ' ἱκέτας σέθεν,
Γαιοῦχε παγκρατὲς Ζεῦ.

ἀντιστρ. γ'. Γένος γὰρ Αἰγύπτιον ὕ-
βρει δύσφορον ἀρσενογενὲς,
Μετά με δρόμοισι διόμενοι,
Φυγάδα μάταισι πολυθρόοις
Βίαια δίζηνται λαβεῖν.
Σὸν δ' ἐπίπαν ζυγὸν
Ταλάντου· Τί δ' ἄνευ σέθεν
Θνατοῖς τέλειόν ἐστιν;

ἐπῳδός. Ὀ, ὁ, ὁ, ἁ, ἁ, ἁ.
Ὅδε μάρπτις νάϊος, γάϊος.
Τῶν πρὸ γᾶς τοι κάμνος, ὦοπ', ὀπ'
Αὖθι καββὰς
Δυΐαν βοὰν ἀμφαίνει.
Τάδ' ὁρῶ φροίμια πρόξενα

Πόνων

VARIETAS LECTIONIS.

v. 818. γαιοῦχε] Vulg. γαιάοχε.

v. 819. ὕβρει] Sic Bothius edidit, melius quam vulgo ὕβριν.

v. 822. πολυθρόοις] πολυθρόους Ald.

v. 828. μάρπτι] μάρπυς Ald. Rob. μάρπτυς ex Hesychio scribere malebant Stanlejus Heathiusque.

v. 829 sqq. Vulgo sic leguntur corrupte:

Τῶν πρὸ μάρπτι κάμνοις,
ἰόφ, ὀμ
Αὖθι κακκάς νο
Δυΐαν βοὰν ἐμφαίνω.

v. 832 sq. Vulgo sic:

Ὁρῶ τάδε φροίμια πρό-
ξενα πόνων
Βιαίων ἐμῶν. ἰέ, ἰέ.

Pro πρόξενα Ald. Rob. habent πρᾶξαν.

Πόνων ἐμῶν βιαίων. ἰέ, ἰέ,
Βαῖνε φυγάδι πρὸς ἀλκάν·
Βλοσυρόφρονος χλιδᾶς
Δυςφόρου ναῒ κἂν γᾷ
Ἄναξ προτάσσου.

ΚΗΡΥΞ ΑΙΓΥΠΤΙΑΔΩΝ. ΧΟΡΟΣ.

ΚΗΡΥΞ.

Σοῦσθε, σοῦσθ' ἐπὶ βᾶ-
ριν ὅπως ποδῶν.

ΧΟΡΟΣ.

Οὐκοῦν, οὐκοῦν
Τιλμοί, τιλμοὶ καὶ στιγμοί,
Πολυαίμων φόνιος
Ἀποκοπὰ κρατός.

ΚΗΡΥΞ.

VARIETAS LECTIONIS.

v. 833. ἰέ, ἰέ,] ἠὲ ἠὲ Ald.

v. 834. φυγάδι] Vulg. φυγᾷ.

v. 835. Vulg. βλοσυρόφρονα χλιδᾷ. Ex. Aurati: βλοσυροφρῶν ἀλλισά.

v. 836. δύςφορου ναῒ κἂν γᾷ] δύςφοραν αἲ κἂν γαὶ γαὶ Ald. δύςφορα ναῒ κἂν γαῖ' Rob. δύςφορον ναΐ κἂν γᾷ Turn. δύςφορα ναΐ κἂν γᾷ Vict. Stanl.

v. 838. σοῦσθε σοῦσθ'] σόῖσθε σοῖσθ' Ald.

v. 841. τιλμοί, τιλμοὶ] τιλμοὶ ſemel Rob.

ΚΗΡΥΞ.

Σοῦσθε, σοῦσθ' ὀλόμεναι ἐπ' ἀμάδα.
Εἰ δ', ἀνὰ πολύῤῥυτον
Ἁλμήεντα πόρον
Δεσποσίῳ ξὺν ὕβρει,
Γομφοδέτῳ τε δορὶ δι' ὅλου
Αἷμον' ἴζω σ' ἐπ' ἀμάδα,
Ἦ δουπίαν σ' ἔπειτα
Κελεύω βίᾳ μεθέσθαι
Ἰσχυρᾷ, φρενὸς ἄταν.

ΧΟΡΟΣ.

Ἰώ, ἰοῦ.

ΚΗΡΥΞ.

Λεῖφ' ἕδρανα, κἰ' ἐς δόρυ,
Ἀτίετ' ἀνὰ πόλιν εὐσεβεῖν.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 844. ὀλόμεναι ὀλόμεν' vulgo. ὀλοίμεναι ὀλύμεν' Ald. ἀμάδα] Vulg. ἀμίδα.

v. 845. εἰ δ' ἀνὰ πολύῤῥυτον] Ἀθάνα πολύῤῥογον Ald. Ἀθάνα πολύῤῥωγον Turn. Pro vulg. εἶτ' dedimus εἰ δ'.

v. 847. δεσποσίῳ] θεσπεσίω Turn. δεσποσύνῳ conj. Steph.

v. 849. αἷμον' ἴζω σ' ἐπ' ἀμάδα] αἷμονες ὡς ἐπαμίδα Ald. αἷμονες ὡς ἐπ' ἀμίδα Rob.

v. 850. ἢ δουπίαν σ' ἔπειτα] ἡσυδουπία Ald. Rob.

v. 852. ἰσχυρᾷ] Ex Heathii correctione. Vulg. ἴχαρ corrupte. φρενὸς ἄταν] φρενί τ' ἄταις Ald. φρενί τ' ἄταν Rob.

v. 854. λεῖφ' ἕδρανα κἰ' ἐς] λεῖφι δρανακίδες Ald. λεῖφ' ἕδρανα, κίε δ' ἐς Turn.

v. 855. εὐσεβεῖν] Vulg. εὐσεβῶν.

ΧΟΡΟΣ.

Μήποτε πάλιν εἴδοι-
μ' ἀλφεσίβοιον ὕδωρ,
Ἔνθεν ἀεξόμενον
Ζώφυτον βροτοῖσι νᾶμα θάλλει.
Ἅγιος ἐγὼ βαθυχαῖος
Βαθρείας βαθρείας, γέρον.

ΚΗΡΥΞ.

Σὺ δὲ ναὶ, ναὶ
Βάσει τάχα
Θέλεος, ἀθέλεος,
Βίᾳ τε πολλᾷ φροῦδα·
Βάτ' ἐπ' ἀμάδα πρὶν κακοπαθεῖν
Ὀλομέναι παλάμαις.

ΧΟΡΟΣ.

στρ. α'. Αἲ, αἲ, αἲ, αἲ,
Καὶ γὰρ δυςπαλάμως ὄλοιο
Δι' ἁλίῤῥυτον ἄλσος,

Κατὰ

VARIETAS LECTIONIS.

v. 856. εἴδοιμ'] Vulg. εἴδοι.

v. 858. ἀεξόμενον] Ita Stanl. emendavit. Recte. Vulg. δεξόμενον. δ' ἀεξόμενον conj. Steph.

v. 859. νᾶμα] Vulg. αἷμα.

v. 860. ἅγιος] ἅγειος Ald. Rob. Postea βακχαῖος Ald.

v. 866. βάτ' ἐπ' ἀμάδα πρὶν κακοπαθεῖν] βάθεαι βαθμίτρο κακὰ παθῶν Ald. βαττ' ἐπ' ἀμίδα τροκακὰ παθῶν Robort. βᾶτ' ἐπ' ἀμίδα ex lectione Robortelliana eruit Stanl. βατ' ἐπ' ἀμίδα πρὶν κακοπαθεῖν conj. Heath.

v. 867. ὀλομέναι] Sic Ald. Rob. Alii ὀλομέναις.

v. 869. εἰ γὰρ] Sic recte Heathius emendavit. Vulg. καὶ γάρ.

v. 870. δι' ἁλίῤῥυτον] διαλλέρυτον Turn.

Κατὰ Σαρπηδόνιον
Χῶμα πολυψάμαθον ἀλαθεὶς
Εὐρείαις ἐν αὔραις.

ΚΗΡΥΞ.

Ἴυζε καὶ λάκαζε, καὶ κάλει θεούς.
Αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορεῖ.
Ἴυζε καὶ βόα πικρότερ' ἀχέων,
Οἰζύος ὄνομ' ἔχον.

ΧΟΡΟΣ.

ἀντιστρ. α. Οἶ, οἶ, οἶ, οἶ,
Λύμασις ἁρπαγᾶς ὑλάσκει·
Περιχριμπτὰ βρυάζει
Βλοσυρῶς· τᾶς ὁ μέγας
Νεῖλος ὑβρίζοντά σ' ἀποτρέψει-
εν ἄϊστον ὕβριν.

ΚΗΡΥΞ.

Βαίνειν κελεύω βᾶριν εἰς ἀντίστροφον

Ὅσον

VARIETAS LECTIONIS.

v. 876. ἀχέων] ἀχαιῶν Turn.

v. 877. ἔχον] Heath. mavult ἔχειν.

v. 879. λύμασις ἁρπαγᾶς ὑλάσκει] Indicativum rescripſimus pro vulgato ὑλάσκοι. λύμασις ὑπραγασὺ λάσκει Ald. λύμασις ὑπρογαφυλάσκοι Rob. λύμασις ἡ πρὸ γᾶς ἠλάσκει Turn.

v. 880. περιχριμπτὰ] περιχαμπτὰ Rob. περίχρεμπτα conj. Stanl.

v. 880. 881. Vulgo corrupte ſic leguntur: βρυάζεις δὲ ἐρωτᾶς· ὁ μέγας.

v. 882. ἀποτρέψειεν] ἀποτρέψει Ald. Rob.

v. 883. ἄϊστον] εὔαιστον Ald. Rob.

Ὅσον τάχιστα· μηδέ τις σχολαζέτω.
Ὁλκὴ γὰρ οὔτοι πλόκαμον οὐδάμ' ἄζεται.

ΧΟΡΟΣ.

στρ. β'. Πάτερ, βρέτεος ἄρος γ' ἄτα
Μ' ἄλαδ' ἄγει, ἀραχνὴς ὥς,
Ὄναρ μέλαν.
Ὀτοτοτοί.
Μᾶ γᾶ, μᾶ γᾶ, βοᾶν
Φοβερὸν ἀπότρεπε.
Ὦ βᾶ γᾶς παῖ Ζεῦ.

ΚΗΡΥΞ.

Οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε·
Οὐ γὰρ μ' ἔθρεψαν, οὐδ' ἐγήρασαν τροφῇ.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 885. μηδέ τις] μή δέτι Ald. μηδέτι Rob.

v. 886. οὔτοι] Stanl. conj. οὔτοι. οὐδάμ' ἄζεται] Recte ſic Pauwius. Vulg. οὐ δαμάζεται.

v. 887. βρέτεος] βροστίοσα Ald. βρέτειος Rob. βρετίοσα Turn. Alii notante Stephano βρότιός.

v. 887. 888. ἄρος, ἄτα, μ' ἄλαδ' ἄγει] Vulg. in edd. corrupte ῥοσάται μαλδαάγει. πρὸς ἄτας μαλδάγει Robort. Stephan. emendabat: πρὸς ἄτας μ' ἀλκὰ ἄγει, Heathius in hanc emendationem conjectura inciderat:

οἴ, οἳ πάτερ βρέτεα σὰ
ῥύσαιτο μ', ἄλκα δ' ἄγει μ'
ἄραχνος ὡς βάδην
ὄναρ ὄναρ μέλαν.

i. e. *hei hei pater ſimulacra tua me protegant, ſpectrum vero, ſpectrum nigrum, me tractu abducit, inſtar araneae gradatim.* Sed cf. Commentar. ad h. l.

ΧΟΡΟΣ.

ἀντιστ. β'. Μαιμᾷ πέλας δίπους ὄφις,
Ἔχιδνα δ' ὥς με μέτεισι
Πόδ' ἐνδακών.
Ὀτοτοτοί.
Μᾶ γᾶ, μᾶ γᾶ, βοὰν
Φοβερὸν ἀπότρεπε,
Ὦ βᾶ, γᾶς παῖ, Ζεῦ.

ΚΗΡΥΞ.

Εἰ μή τις ἐς ναῦν εἶσιν, αἰνέσας τάδε,
Λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.

ΧΟΡΟΣ.

στρ. γ'. Ἰὼ πόλεως ἀγοὶ πρόμοι
Δάμναμαι.

ΚΗΡΥΞ.

Πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου, τάχα
Ὄψεσθε· θαρσεῖτ', οὐκ ἐρεῖτ' ἀναρχίαν.

ΧΟ.

VARIETAS LECTIONIS.

v. 896. 897. ſcribuntur in Ald. μαι μαιπέλας δίπου ὄφις, ἔχιδνα δ' ὥςμε τίποτ' ἓν δακοσάχ. In Rob. ſic: μαιμᾶ πέλας δίπους ὄφις ἔχιδνα δ' ὧς με τίποτ' ἐνδακοῦσα χ —. In Turn. Μαι μαι πέλας δήπου ὄφις ἔχιδνα δ' ὥς με τίποτ', ἓν δακοσάχ . . .

v. 901. βᾶ abeſt Turn.

v. 905. πρόμοι] Ita Stanl. em. Vulg. πρόμνοι.

v. 907 θαρσεῖτ' οὐκ ἐρεῖτ'] θάρσει, τουχερεῖ τ' Ald. Ante θαρσεῖτ' in Rob. praefigitur βασ. quaſi hic Βασιλεὺς loqui incipiat. θαρσεῖτ' οὐκ ἐρεῖ Turn.

ΧΟΡΟΣ.

ἀντιστρ. γ'. Διωλόμεσθ', ἄελπτ' ἄναξ
Πάσχομεν.

ΚΗΡΥΞ.

Ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης,
Ἐπεὶ οὐκ ἀκούεις ὀξὺ τῶν ἐμῶν λόγων.

ΒΑΣΙΛΕΥΣ ΑΡΓΕΙΩΝ. ΚΗΡΥΞ ΑΙΓΥΠΤΙΑΔΩΝ. ΧΟΡΟΣ.

ΒΑΣΙΛΕΥΣ.

Οὗτος τί ποιεῖς; ἐκ ποίου φρονήματος
Ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα;
Ἀλλ' ἦ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν;
Κάρβανος ὢν Ἕλλησιν ἐγχλίεις ἄγαν·
Καὶ πόλλ' ἁμαρτὼν οὐδὲν ὤρθωσας φρενί.

ΚΗΡΥΞ.

VARIETAS LECTIONIS.

v. 908. ἄελπτ' ἄναξ] ἑπτάναξ Ald. Pro ἄελπτ' ἄναξ πάσχομεν in Turn. legitur πάσχομεν ἀνάξια.

v. 910. ὑμᾶς] Steph. putat legendum ἡμᾶς totumque versiculum Choro tribuendum.

v. 911. οὐκ ἀκούεις ὀξὺ τῶν] ἐπεὶ οὐκ ἀκοῦ ἐξυτῶν Ald. ἐπεὶ οὐκ ἀκούεις σὺ τῶν Rob. ἔποι οὐκ ἀκούεις τῶν ἐμῶν λόγων Turn. Stanlejus emendat ἐπεὶ οὐκ ἀκούεις τῶνδε τῶν ἐμῶν λόγων.

v. 915. κάρβανος ὢν] καρβάνος δ' ὢν Rob. ἐγχλίεις] ἐγχλίοις Rob.

v. 916. ἁμαρτὼν] ἁμαρτῶν Ald. ὤρθωσας] ὤρθωσα Ald.

ΚΗΡΥΞ.

Τί δ' ἠμπλάκηται τῶνδ' ἐμοὶ δίκης ἄτερ;

ΒΑΣΙΛΕΥΣ.

Ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.

ΚΗΡΥΞ.

Πῶς δ' οὐχί; τἀπολωλόθ' εὑρίσκων ἔχω.

ΒΑΣΙΛΕΥΣ.

Ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;

ΚΗΡΥΞ.

Ἑρμῇ μεγίστῳ προξένῳ μαστηρίῳ.

ΒΑΣΙΛΕΥΣ.

Θεοῖσιν εἰπὼν τοὺς θεοὺς οὐδὲν σέβει.

ΚΗΡΥΞ.

Τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.

ΒΑΣΙΛΕΥΣ.

Οἱ δ' ἐνθάδ' οὐδέν, ὡς ἐγὼ σέθεν κλύω.

VARIETAS LECTIONIS.

v. 917. ἠμπλάκηται] ἠμπλάκη με Ald.

v. 919. ἔχω] Sic Valckenaer ad Eurip. Phoeniss. v. 712. pro vulg. ἐγὼ rescribendum censuit, posito interrogandi signo post οὐχί;.

v. 920. προξένοις] πρὸς ξένοις Ald. Rob. προςξένοις Turn.

v. 922. οὐδὲν] οὐδὲ Turn.

v. 924. οἱ δ'] οἶδ' Turn. οἵ δ' conj. Stanl. κλύω] κάτω Ald. Turn.

ΚΗΡΥΞ.

Ἄγοιμ᾽ ἄν, εἴ τις τάςδε μὴ ᾿ξαιρήσεται.

ΒΑΣΙΛΕΥΣ.

Κλάοις ἄν, εἰ ψαύσειας, οὐ μάλ᾽ ἐς μακράν.

ΚΗΡΥΞ.

Ἤκουσα τοὔπος οὐδαμῶς φιλόξενον.

ΒΑΣΙΛΕΥΣ.

Οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας.

ΚΗΡΥΞ.

Λέγοιμ᾽ ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε;

ΒΑΣΙΛΕΥΣ.

Ἀβουκόλητον τοῦτ᾽ ἐμοῦ φρονήματι.

ΚΗΡΥΞ.

Ἀλλ᾽, ὡς ἂν εἰδῇς, ἐννέπω σαφέστερον.
Καὶ γὰρ πρέπει κήρυκ᾽ ἀπαγγέλλειν τορῶς.

Ἑκα-

VARIETAS LECTIONIS.

v. 926. οὐ μάλ᾽ ἐς μακρὰν] οὐδὲ μ᾽ ἄνησμακρὰν· sic Ald. οὐδ᾽ ἂν εἰς μακράν· Turn.

v. 928. Quatuor sequentes versiculi Regi tribuuntur Rob. In Turn. v. 928. praeconi, v. 929. regi, v. 930. cum sqq. praeconi adscribuntur.

v. 929. λέγοιμ᾽ ἂν] Ex Heathii emendatione. Vulg. λέγοις ἄν.

v. 930. ἀβουκόλητον] ἀβουκόλυτον Ald. ἐμῷ] ἐμοῦ Turn.

v. 931. εἰδῇς] εἰδὼς Ald. Rob. Heathius emendandum censet: Ἀλλ᾽ ὡς ἂν εἰδὼς ἐννεπῶ σαφέστερον.

Ἕκαστα· πῶς φῶ, πρὸς τίνος τ' ἀφαιρεθεὶς
Ἥκειν γυναικῶν αὐτανέψιον στόλον;

ΒΑΣΙΛΕΥΣ.

Τί σοι λέγειν χρὴ, τοὔννομον χρόνῳ μαθών,
Ἴσωσον αὐτός, χ' οἱ ξυνέμποροι σέθεν.
Ταύτας δ' ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν
Ἄγοις ἂν, εἴπερ εὐσεβὴς πίθοι λόγος.
Τοιάδε δημόπρακτος ἐκ πόλεως μία
Ψῆφος κέκρανται, μήποτ' ἐκδοῦναι βίᾳ
Στόλον γυναικῶν· τῶνδ' ἐφήλωται τορῶς
Γόμφος διαμπὰξ, ὡς μένειν ἀραρότως.
Ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα,
Οὐδ' ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα,

VARIETAS LECTIONIS.

v. 933. 934. ſic emendandos cenſet Stanl.:

. . . Πῶς, φῶ, πρὸς τίνος τ' ἀφαιρεθεὶς
Ἥκει γυναικῶν αὐτανέψιος στόλος.

Ceterum poſt hunc verſum in Edd. leguntur quatuor verſus: Οὔ τοι δικάζει — κἀπολακτισμοὶ βίου, quos poſt v. 946. transponendos eſſe facile patet.

v. 935. τοὔννομον] τοὔνομ' ἐν Ald. τοὔνομα ἐν Rob. Hic verſus in Rob. praeconi tribuitur. τοὔνομ' ἂν Turn. τἄννομ' conj. Canter. pro τὰ ἔννομα. Heathius mavult: εἰ σοὶ λέγειν χρὴ τοὔνομ' ἐν χρόνῳ μαθών, σύ τ' ἴσθι γ' αὐτὸς χ' οἱ ξυνέμποροι σέθεν. μαθὼν] μάθοις Turn.

v. 936. ἴσωσον αὐτός] ἴσως οὐ αὐτὸς Ald. ἴσως ὁ αὐτὸς Turn. Ceteri ἴσθι γε αὐτός.

v. 937. ἑκούσας] ὑκούσας Ald.

v. 938. λόγος] λόγοις Ald.

v. 941. τῶνδ' ἐφήλωται] τῶνδε φιλωταὶ Ald. Rob. τορῶς] τορῶ Rob.

v. 944. ἐν πτυχαῖς] ἐν τύχαις Ald.

Σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου
Γλώσσης· κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων.

ΚΗΡΥΞ.

Οὔ τοι δικάζει ταῦτα μαρτύρων ὕπο
Ἄρης· τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ
Ἔλυσεν· ἀλλὰ πολλὰ γίγνεται πάρος
Πεσήματ' ἀνδρῶν, κἀπολακτισμοὶ βίου.
Ἴσθι τάδ', ἤδη πόλεμον αἱρήσει νέον.
Εἴη δὲ νίκη καὶ κράτη τοῖς ἄρσεσιν.

ΒΑΣΙΛΕΥΣ.

Ἀλλ' ἄρσενας καὶ τῆσδε γῆς οἰκήτορας
Εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ. —
Ὑμεῖς δὲ πᾶσαι ξὺν φίλοις ὀπάοσιν,
Θράσος λαβοῦσαι, στείχετ' εὐερκῆ πόλιν,
Πύργων βαθείᾳ μηχανῇ κεκλειμένην.
Καὶ δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια,
Δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾷ χερί.
Εὔθυμόν ἐστιν εὐτυχοὺς ναίειν δόμους
Πολλῶν μετ' ἄλλων· εἰ δέ τις μείζων χάρις,
Πάρεστιν οἰκεῖν καὶ μονοῤῥύθμους δόμους.

Τού-

VARIETAS LECTIONIS.

v. 947. ἴσθι τάδ'] ἴσθι μὲν τάδ' Rob. αἱρήσει νέον] ἐρεισθενέον Ald. αἱρεῖσθαι νέον Rob. Heathius metri cauſa εἰ 'στιν τάδ' corrigit.

v. 949. καὶ τῆσδε] Vulg. τοι τῆσδε.

v. 956. εὐερκῆ] εὐεργῆ Rob.

v. 957. κεκλειμένην] κεκλιμένην Ald.

v. 958. ἐστὶ] ἐπὶ Rob.

v. 960. εὔθυμόν] εὐθυμεῖν Ald Rob. εὐτυχοὺς] ἐντυχούσῃ Ald. ἐντυχεῖς vulg.

v. 962. μονοῤῥύθμους] μονορύθμους Rob.

Τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα
Πλείσταισι λωτίσασθε. Προστάτης δ' ἐγὼ
Ἀστοί τε πάντες, ὧνπερ ἥδε κραίνεται
Ψῆφος. Τί τῶνδε κυριωτέρους μένεις;

ΧΟΡΟΣ.

Ἀλλ' ἀντ' ἀγαθῶν ἀγαθοῖσι βρύοις,
Δῖε Πελασγῶν.
Πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον
Πατέρ' εὐθαρσῆ Δαναόν, πρόνοον,
Καὶ βουλάρχον. Τοῦ γὰρ προτέρα
Μῆτις, ὅπου χρὴ δώματα ναίειν
Καὶ τόπος εὔφρων. Πᾶς τις ἐπειπεῖν
Ψόγον ἀλλοθρόοις
Εὔτυκος· εἴη δὲ τὰ λῷστα.

ΒΑΣΙΛΕΥΣ.

Σύν τ' εὐκλείᾳ καὶ ἀμηνίτῳ
Βάξει λαῶν ἐν χώρῳ
Τάσσεσθε φίλαι, καὶ δμωΐδες, οὕτως
Ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν
Δαναὸς θεραποντίδα φερνήν.

VARIETAS LECTIONIS.

v. 964. πλείσταισι λωτίσασθε] Vulg. πάρεστι λωτίσασθαι.

v. 966. κυριωτέρους] θυριωτέρους Turn.

v. 975. εὔτυκος] εὔτυχος Turn. quod Heathius metri causa praefert. Vulg. εὔτυκτος.

v. 978. omissus Rob. καὶ δμωΐδες] Vulg. abest καὶ.

v. 980. θεραποντίδα φερνὴν] θεραποντὶ διαφέρνην Ald. θεράποντι διὰ φερνήν Turn.

ΔΑΝΑΟΣ. ΧΟΡΟΣ.

ΔΑΝΑΟΣ.

Ὦ παῖδες, Ἀργείοισιν εὔχεσθαι χρεών,
Θύειν τε λείβειν θ', ὡς θεοῖς Ὀλυμπίοις,
Σπονδάς, ἐπεὶ σωτῆρες οὐ διχορρόπως.
Καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐκτενεῖς
Φίλους πικρῶς ἤκουσαν αὐτανεψίους·
Ἐμοὶ δ' ὀπάδους τούσδε καὶ δορυσσόους
Ἔταξαν, ὡς ἔχοιμι τίμιον γέρας·
Καὶ μήτ' ἀέλπτως δορὶ θανὼν ἀνημέρῳ
Λάθοιμι, χώρᾳ δ' ἄχθος ἀεὶ ζῶν πέλοι.
Τοιῶνδε μου τυχόντος, εὐπρυμνῆ φρενὸς
Χάριν σέβεσθε τιμιωτέραν ἐμοί.
Καὶ ταῦτα μὲν γράψεσθε πρὸς γεγραμμένοις
Πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρός,

Ἀγνῶθ'

VARIETAS LECTIONIS.

v. 984. μὲν abest Rob.

v. 985. Φίλους] Φίλου Rob. Stanl. corrigit Φίλ' οὐ πικρῶς. Heathius alia via manum poëta restituere conatur:

καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐγγενεῖς
Φίλους πικρῶς ἤκουσαν αὐτανεψίους.

ἤκουσαν] ἤκουσας Ald. Turn.

v. 986. ἐμοὶ] Vulg. ἐμοῦ. ἐμοὺς Rob.

v. 988. δορὶ θανὼν ἀνημέρῳ] δόρυ κἀνημέρῳ θανὼν Ald. δόρυ κ' ἀνημέρῳ θανὼν Rob. δορὶ γ' ἀνημέρῳ θανὼν Heath.

v. 990. μου τυχόντος] Vulg. τυγχάνοντας. εὐπρυμνῆ] Heathius emend. εὐπρεμνῆ.

v. 991. σέβεσθε] σέβεσθαι Rob. ἐμοί.] Vulg. ἐμοῦ.

v. 992. γεγραμμένοις] γεγραμμένους Ald. Turn.

Ἀγνῶθ᾽ ὅμιλον ὡς ἐλέγχεσθαι χρόνῳ.
Πᾶς δ᾽ ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει
Κακὴν, τό τ᾽ εἰπεῖν εὐπετὲς μύσαγμά πως.
Ὑμᾶς δ᾽ ἐπαινῶ, μὴ καταισχύνειν ἐμὲ,
Ὥραν ἐχούσας τήνδ᾽ ἐπίστρεπτον βροτοῖς.
Τέρειν᾽ ὀπώρα δ᾽ εὐφύλακτος οὐδαμῶς.
Θῆρες δὲ κηραίνουσι καὶ βροτοί τι μιν,
Καὶ κνωδάλῳ πτεροῦντι καὶ πεδοστιβεῖ
Καρπώματα στάζοντα κηρύσσει Κύπρις·
Κἄλωρα κωλύουσι πῶς μένειν ἐρῶ.
Καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι
Πᾶς τις παρελθὼν ὄμματος θελκτήριον
Τόξευμ᾽ ἔπεμψεν, ἱμέρου νικώμενος.
Πρὸς ταῦτα μὴ πάθωμεν, ὧν πολὺς πόνος,
Πολὺς δὲ πόντος οὕνεκ᾽ ἐπεράθη δορί,
Μηδ᾽ αἶσχος ἡμῖν, ἡδονὴν δ᾽ ἐχθροῖς ἐμοῖς

VARIETAS LECTIONIS.

v. 994. ἀγνῶθ᾽] ἀγνῷ θ᾽ Ald. Rob.

v. 995. εὔτυκον] Vulg. εὔτυχον.

v. 999. τέρειν] Vulg. τέρην.

v. 1000. τι μιν] τιμὴν Ald. Rob.

v. 1001. Vulg. καὶ κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ.

v. 1002. καρπώματα] καρπώματι Ald. Turn.

v. 1003. κἄλωρα] κἄξωρα conj. Canter. Stanl. mavult κἄωρα. κωλύουσί πως] κωλύουσαν θ᾽ ὡς Ald. Rob. κωλύουσαν ὡς reliqui.

v. 1004. ἔπι] ἔπη Ald.

v. 1007. πάθωμεν] πάθομεν Ald.

v. 1008. οὕνεκ᾽ ἐπεράθη] Vulg. οὗ ἐκληρώθη. Heathius: πολὺς δὲ πόντος οὕνεκ᾽ ἠρύθη δορί.

Πράξωμεν. Οἴκησις δὲ καὶ διπλῆ πάρα,
Τὴν μὲν Πελασγός, τὴν δὲ καὶ πόλις διδοῖ,
Οἰκεῖν λατρῶν ἄτερθεν· εὐπετῆ τάδε.
Μόνον φυλάξαι τάσδ' ἐπιστολὰς πατρός,
Τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον.

ΧΟΡΟΣ.

Τἄλλ' εὐτυχοῖμεν πρὸς θεῶν Ὀλυμπίων·
Ἐμῆς δ' ὀπώρας οὕνεκ' εὖ θάρσει, πάτερ.
Εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον,
Ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενός.

Ἴτε μὰν ἀστυάνακτας
Μάκαρας θεοὺς γανάοντες
Πολιούχους τε, καὶ οἳς χεῦμ' Ἐρασίνου
Περιναίεται παλαιόν.
Ὑποδέξασθε δ' ὀπαδοὶ
Μέλος· αἶνος δὲ πόλιν τήν-
δε Πελασγῶν ἔχετω, μηδ' ἔπι Νείλου

Προ-

VARIETAS LECTIONIS.

v. 1010. πράξωμεν] πράξομεν Ald. οἴκησις] οἰκήσεις Ald.

v. 1013. φυλάξαι] φυλάξαις Turn.

v. 1016. εὖ θάρσει] Valckenaer ad Eurip. Phoeniss. εὐθάρσει.

v. 1019. μάκαρας] Ex em. Stanl. Vulg. μακρὰς.

v. 1021. οἷς χεῦμ' Ἐρασίνου] οἱ χῶμ' ἐρασίμου Ald. Turn. οἳ χεῦμ' Ἐρασίνου cett.

v. 1022. περιναίεται] Sic Ald. Vulg. περιναίετε.

v. 1024. Μέλος· αἶνος] μένος. Αἶνος vulgo. μένος ἐνὸς Ald. Turn.

Προχοαῖσι σέβωμεν ἐν ὕμνοις
Ποταμοὺς οἳ διὰ χώρας
Θέλεμον πῶμα χέουσι
Πολύτεκνοι, λιπαροῖς χεύμασι γαίας
Οὖδας τόδε μειλίσσοντες.
Ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ
Στόλον οἰκτιζομένα· μη-
δ' ὑπ' ἀνάγκας γάμος ἔλθοι Κυθέρειος·
Στυγερὸν δὲ πέλει τόδε γ' ἆθλον·
Κύπριδος δ' οὐκ ἀμελεῖ θε-
σμὸς ὅδ' εὔφρων. Δύναται γὰρ
Διὸς ἄγχιστα σὺν Ἥρᾳ·
Τίεται δ' αἰολόμητις
Θεὸς ἔργοις ἐπὶ σεμνοῖς.
Μετάκοινοι δ' αἱ φίλαι μα-
τρὶ παριστᾶσι, πάθος τ' οὐ-
δὲν ἄπαρνον τελέθει θέλ-
κτορι Πειθοῖ. Δέδοται δ' Ἁρ-
μονίᾳ μοῖρ' Ἀφροδίτας

Ψεδυ-

VARIETAS LECTIONIS.

v. 1026. σέβωμεν] σέβομεν Ald.

v. 1029. λιπαροῖς χεύμασι] λιπαρῶν χάμασιν Ald. λιπαρὸν χώμασι Turn.

v. 1030. Vulg. τόδε μελίσσοντες οὖδας.

v. 1033. Κυθέρειος] Κυθερείας Rob.

v. 1034. στυγερὸν—ἆθλον] στύγειον πέλει τόδ' ἆθλον Ald. Rob. Vulgo στυγερὸν πέλει τόδ' ἆθλον.

v. 1039. θεὸς] θεοῖς Rob.

v. 1041. πάθος] πόθος Ald. πρᾶγος conj. Canter.

v. 1042. θέλκτορι] Vulg. θεάκτορι.

v. 1043. πειθοῖ] πυθοῖ Ald. Rob. Rell. πιθοῖ.

Ψεδυρᾶς τρίβοι τ' ἐρώτων.
Φυγάδας δῆτ' ἐπιπλοίας,
Κακά τ' ἄλγη, πολέμους θ' αἱ-
μ ατόεντας προφοβοῦμαι.
Τί πότ' εὔπλοιαν ἔπραξαν
Ταχυπόμποισι διωγμοῖς;

ΗΜΙΧΟΡΟΣ Α'.

Ὅτι τοι μόρσιμόν ἐστιν,
Τὸ γένοιτ' ἄν.
Διὸς οὐ πάρ-
βατός ἐστιν μεγάλα φρὴν
Ἀπέρατος· μετὰ πολλῶν
Δὲ γάμων ἅδε τελευτὰ
Προτέραν σοί γε πέλοιτο γυναικῶν.

ΗΜΙΧΟΡΟΣ Β'.

Ὁ μέγας Ζεὺς ἀπαλέξαι
Γάμον Αἰγυπτογενῆ μοι.

ΗΜΙ-

VARIETAS LECTIONIS.

v. 1045. ψεδυρᾶς] ψίδυρα Ald. ψῦδρα Rob. ψεδυρὰ rell. ψεδυραὶ conj. Stanl.

v. 1046. Φυγάδας δ' ἐπιπλοίας] Φυγάδες τ' ἐπιπνοίαι Ald. Φυγὰς δ' ἐπιπνοία Rob. Φυγάδας δ' ἐπιπνοίας rell.

v. 1053 sq. παρβάτος] παραβάτας Ald. Rob. παραβάτα rell.

v. 1056. τελευτὰ] τελευτᾷ Ald. Turn.

v. 1057. Vulg. προτέραν πέλοι γυναικῶν.

v. 1058. ἀπαλέξαι] ἀπαλλάξαι Turn.

ΗΜΙΧΟΡΟΣ Α'.

Τὸ μὲν ἂν βέλτατον εἴη·
Σὺ δὲ θέλγοις ἂν ἄθελκτον.

ΗΜΙΧΟΡΟΣ Β'.

Σὺ δέ γ' οὐκ οἶσθα τὸ μέλλον.

ΗΜΙΧΟΡΟΣ Α'.

Τί δὲ μέλλω φρένα δῖαν
Καθορᾶν, ὄψιν ἄβυσσον;

ΗΜΙΧΟΡΟΣ Β'.

Μέτριον νῦν ἔπος εὔχου.

ΗΜΙΧΟΡΟΣ Α'.

Τίνα καιρόν με διδάσκεις;

ΗΜΙΧΟΡΟΣ Β'.

Τὰ θεῶν μηδὲν ἀγάζειν.

ΧΟΡΟΣ.

στροφή. Ζεὺς ἄναξ ἀποστεροί-
η γάμον δυσάνορα
Δάϊον, ὅσπερ Ἰὼ

Πημο-

VARIETAS LECTIONIS.

v. 1061. σὺ δὲ θέλγεις ἀνάθελκτον Rob. Steph. citat σὺ δὲ θέλγοις ἂν ἄθελκτον. ἄθελκτον] ἀναθέλητον Ald.

v. 1065. Semichoro priori tribuitur Turn.

v. 1068 seqq. nobis quidem, ut epilogus cantici, universo Choro tribuendus esse videtur. In edd. v. 1067—1073. priori, reliqui τὸ βέλτερον etc., alteri Semichoro assignantur.

Πημονᾶς ἐλύσατ', εὖ
Χειρὶ παιωνίᾳ κατασχέθων,
Εὐμενεῖ βίᾳ κτίσας
ἀντιστρ. Καὶ κράτος νέμοι γυναι-
ξίν· τὸ βέλτερον κακοῦ
Καὶ τὸ δίμοιρον αἰνῶ,
Καὶ δίκα δίκας ἕπε-
σθαι ξὺν εὐχαῖς ἐμαῖς λυτηρίοις.
Μηχαναῖς θεοῦ πάρα.

VARIETAS LECTIONIS.

v. 1073. κτίσας] κτήσας Ald.

v. 1074. νέμοι] νέμων Turn.

v. 1078. ξὺν εὐχαῖς] ξὺν εὐχολῆς Ald. ξὺν εὐχωλῆς ἐμαῖς Turn.

C. G.